UNIVERSITÄTS BIBLIOTHEK WUPPERTAL

BERGISCHE UNIVERSITÄT WUPPERTAL

Universitätsbibliothek Wuppertal

# Scholia graeca in Aristophanem

## Dübner, Friedrich

## Parisiis, 1842

Νεφελαι

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-5255

Visual Library

# ΝΕΦΕΛΑΙ.

## (ΥΠΟΘΕΣΕΙΣ.)

### I.

Τὸ δρᾶμα κατὰ Σωκράτους γέγραπται τοῦ φιλοσόφου ἐπίτηδες ὡς κακοδιδασκαλοῦντος τοὺς νέους Ἀθήνησι, τῶν κωμικῶν πρὸς τοὺς φιλοσόφους ἐχόντων τινὰ ἀντιλογίαν· οὐχ, ὥς τινες, δι' Ἀρχέλαον τὸν Μακεδόνων βασιλέα, ὅτι προὔκρινεν [αὐτὸν] Ἀριστοφάνους.

### II.

Φασὶ τὸν Ἀριστοφάνην γράψαι τὰς Νεφέλας ἀναγκασθέντα ὑπὸ Ἀνύτου καὶ Μελήτου, ἵνα προδιασκέψαιντο ποῖοί τινες εἶεν Ἀθηναῖοι κατὰ Σωκράτους ἀκούοντες. ηὐλαβοῦντο γάρ, ὅτι πολλοὺς εἶχεν ἐραστάς, καὶ μάλιστα τοὺς περὶ Ἀλκιβιάδην, οἳ καὶ ἐπὶ τοῦ δράματος τούτου μηδὲ νικῆσαι ἐποίησαν τὸν ποιητήν. ὁ δὲ πρόλογός ἐστι τῶν Νεφελῶν ἁρμοδιώτατα καὶ δεξιώτατα συγκείμενος. πρεσβύτης γάρ ἐστιν ἄγροικος ἀχθόμενος παιδὶ ἀστικοῦ φρονήματος γέμοντι καὶ τῆς εὐγενείας εἰς πολυτέλειαν ἀπολελαυκότι. ἡ γὰρ τῶν Ἀλκμαιωνιδῶν οἰκία, ὅθεν ἦν τὸ πρὸς μητρὸς γένος ὁ μειρακίσκος, ἐξ ἀρχῆς, ὥς φησιν Ἡρόδοτος [6, 125], τεθριπποτρόφος ἦν καὶ πολλὰς ἀνῃρημένη νίκας, τὰς μὲν Ὀλυμπίασι, τὰς δὲ Πυθοῖ, ἐνίας δὲ Ἰσθμοῖ καὶ Νεμέᾳ καὶ ἐν ἄλλοις πολλοῖς ἀγῶσιν. εὐδοκιμοῦσαν οὖν ὁρῶν ὁ νεανίσκος ἀπέκλινε πρὸς τὸ ἦθος τῶν πρὸς μητρὸς προγόνων.

### III.

Πρεσβύτης τις Στρεψιάδης ὑπὸ δανείων καταπονούμενος διὰ τὴν ἱπποτροφίαν τοῦ παιδὸς, δεῖται τούτου, φοιτήσαντα ὡς τὸν Σωκράτη μαθεῖν τὸν ἥττονα λόγον, εἴ πως δύναιτο τὰ ἄδικα λέγων ἐν τῷ δικαστηρίῳ τοὺς χρήστας νικᾶν καὶ μηδενὶ τῶν δανειστῶν μηδὲν ἀποδοῦναι. οὐ βουλομένου δὲ τοῦ μειρακίσκου, διαγνοὺς αὐτὸς ἐλθὼν μανθάνειν, μαθητὴν τοῦ Σωκράτους ἐκκαλέσας τινὰ διαλέγεται. ἐκλυθείσης δὲ τῆς διατριβῆς, οἵ τε μαθηταὶ κύκλῳ καθήμενοι πιναροὶ συνορῶνται καὶ αὐτὸς ὁ Σωκράτης ἐπὶ τῆς κρεμάθρας αἰωρούμενος καὶ ἀποσκοπῶν τὰ μετέωρα θεωρεῖται. μετὰ ταῦτα τελεῖν παραλαβὼν τὸν πρεσβύτην, καὶ τοὺς νομιζομένους παρ' αὐτῷ θεούς, Ἀέρα, προσέτι δὲ καὶ Αἰθέρα καὶ Νεφέλας κατακαλεῖται. πρὸς δὲ τὴν εὐχὴν εἰσέρχονται Νεφέλαι ἐν σχήματι χοροῦ· καὶ φυσιολογήσαντος οὐκ ἀπιθάνως τοῦ Σωκράτους ἀποκαταστᾶσαι πρὸς τοὺς θεατὰς περὶ πλειόνων διαλέγονται. μετὰ δὲ ταῦτα ὁ μὲν πρεσβύτης διδασκόμενος ἐν τῷ φανερῷ τινὰ τῶν μαθημάτων γελωτοποιεῖ· καὶ ἐπειδὴ διὰ τὴν ἀμαθίαν ἐκ τοῦ φροντιστηρίου ἐκβάλλεται, ἄγων πρὸς βίαν τὸν υἱὸν συνίστησι τῷ Σωκράτει. τούτου δὲ ἐξαγαγόντος αὐτῷ ἐν τῷ θεάτρῳ τὸν ἄδικον καὶ τὸν δίκαιον λόγον, διαγωνισθεὶς ὁ ἄδικος πρὸς τὸν δίκαιον λόγον, καὶ παραλαβὼν αὐτὸν ὁ ἄδικος λόγος ἐκδιδάσκει. κομισάμενος δὲ αὐτὸν ὁ πατὴρ ἐκπεπονημένον ἐπηρεάζει τοῖς χρήσταις, καὶ ὡς κατωρθωκὼς, εὐωχεῖ παραλαβών. γενομένης δὲ περὶ τὴν εὐωχίαν ἀντιλογίας, πληγὰς λαβὼν ὑπὸ τοῦ παιδὸς βοὴν ἵστησι, καὶ προσκαταλαλούμενος ὑπὸ τοῦ παιδὸς ὅτι δίκαιον τοὺς πατέρας ὑπὸ τῶν υἱῶν ἀντιτύπτεσθαι, ὑπεραλγῶν διὰ τὴν πρὸς τὸν υἱὸν σύγκρουσιν ὁ γέρων, κατασκάπτει καὶ ἐμπίπρησι τὸ φροντιστήριον τῶν Σωκρατικῶν. τὸ δὲ δρᾶμα τῶν πάνυ δυνατῶς πεποιημένων.

### IV.

## ΑΡΙΣΤΟΦΑΝΟΥΣ

### ΓΡΑΜΜΑΤΙΚΟΥ.

Πατὴρ τὸν υἱὸν σωκρατίζειν βούλεται·  
καὶ τῆς περὶ αὐτὸν ψυχρολογίας διατριβὴ  
ἱκανή, λόγων τ' ἀπόνοια πρὸς τοὐναντίον.  
χορὸς δὲ Νεφελῶν ὡς ἐπωφελῆ λέγων,  
καὶ τὴν ἀσέβειαν Σωκράτους διεξιών·  
ἄλλαι θ' ὑπ' ἀνέρος κατηγορίαι πικραί,  
καὶ τῶν μαθητῶν εἰς πατραλοίας ἐκτόπως.  
εἶτ' ἐμπυρισμὸς τῆς σχολῆς τοῦ Σωκράτους.

### V.

Αἱ πρῶται Νεφέλαι ἐδιδάχθησαν ἐν ἄστει ἐπὶ ἄρχοντος Ἰσάρχου, ὅτε Κρατῖνος μὲν ἐνίκα Πυτίνῃ, Ἀμειψίας δὲ Κόννῳ. διόπερ Ἀριστοφάνης ἀπορριφθεὶς παραλόγως ᾠήθη δεῖν ἀναδιδάξαι τὰς Νεφέλας τὰς δευτέρας, καὶ ἀπομέμφεσθαι τὸ θέατρον. ἀποτυχὼν δὲ πολὺ μᾶλλον καὶ ἐν τοῖς ἔπειτα οὐκέτι τὴν διασκευὴν εἰσήγαγεν. αἱ δὲ δεύτεραι Νεφέλαι ἐπὶ Ἀμεινίου ἄρχοντος.

## VI.

Τοῦτο ταυτόν ἐστι τῷ προτέρῳ. διεσκεύασται δὲ ἐπὶ μέρους, ὡς ἂν δὴ ἀναδιδάξαι μὲν αὐτὸ τοῦ ποιητοῦ προθυμηθέντος, οὐκέτι δὲ τοῦτο δι' ἣν ποτε αἰτίαν ποιήσαντος. καθόλου μὲν οὖν σχεδὸν παρὰ πᾶν μέρος γεγενημένη διόρθωσις. τὰ μὲν γὰρ περιῄρηται, τὰ δὲ παραπέπλεκται, καὶ ἐν τῇ τάξει καὶ ἐν τῇ τῶν προσώπων διαλλαγῇ μετεσχημάτισται. τὰ δὲ ὁλοσχεροῦς τῆς διασκευῆς τοιαῦτα ὄντα τετύχηκεν. αὐτίκα ἡ παράβασις τοῦ χοροῦ ἤμειπται καὶ ὅπου ὁ δίκαιος λόγος πρὸς τὸν ἄδικον λαλεῖ, καὶ τελευταῖον ὅπου καίεται ἡ διατριβὴ Σωκράτους.

## VII.

Τὴν μὲν κωμῳδίαν καθῆκε κατὰ Σωκράτους ὡς τοιαῦτα νομίζοντος καὶ Νεφέλας καὶ Ἀέρα καὶ τί γὰρ ἄλλ' ἢ ξένους εἰσάγοντος δαίμονας· χορῷ δὲ ἐχρήσατο Νεφελῶν πρὸς τὴν τοῦ ἀνδρὸς κατηγορίαν, καὶ διὰ τοῦτο οὕτως ἐπεγράφη τὸ δρᾶμα. διτταὶ δὲ φέρονται Νεφέλαι. οἱ δὲ κατηγορήσαντες Σωκράτους, Ἄνυτος καὶ Μέλητος. τὸ δὲ δρᾶμα τῆς ὅλης ποιήσεως κάλλιστόν φασι καὶ τεχνικώτατον.

## VIII.

### ΘΩΜΑ ΤΟΥ ΜΑΓΙΣΤΡΟΥ.

[Ἄνυτος καὶ Μέλητος Σωκράτει τῷ Σωφρονίσκου βασκήναντες καὶ αὐτὸν μὴ δυνάμενοι βλάψαι ἀργύριον ἱκανὸν Ἀριστοφάνει δεδώκασιν, ἵνα δρᾶμα κατ' αὐτοῦ συστήσηται. καὶ ὃς πεισθεὶς γέροντά τινα Στρεψιάδην καλούμενον ἐπλάσατο ὑπὸ χρεῶν πιεζόμενον, ἃ δὴ ἀνηλώκει περὶ τὴν τοῦ παιδὸς Φειδιππίδου ἱπποτροφίαν. οὕτω δὲ τούτων ἐχόντων, μὴ ἔχων ὁ Στρεψιάδης τί ποιήσει περὶ τὰ χρέα, βουλεύεται προσαγαγεῖν τῷ Σωκράτει τὸν ἑαυτοῦ παῖδα, ἵνα παρ' αὐτοῦ τὸν ἄδικον μάθῃ λόγον, καὶ οὕτω τοὺς δανειστὰς ἀποκρούσηται. Φειδιππίδης μὲν οὖν, πολλὰ δεηθέντος τοῦ πατρὸς, προσελθεῖν οὐκ ἐπείσθη· ἀποτυχὼν δὲ ὁ πρεσβύτης τῆς ἐπ' ἐκεῖνον ἐλπίδος καὶ οὐκ ἔχων ὅστις καὶ γένηται, εἰς δεύτερον εἶδε πλοῦν. οὐδὲν οὖν τῆς ἡλικίας φροντίσας οὐδ' ἐνθυμηθεὶς εἴ τισιν ἄτοπος δόξειεν ἀνὴρ ἐν γήρᾳ ὢν μανθάνειν καθάπερ κομιδῇ νέος ἀρχόμενος, ἀλλ' εἰς ἓν ἀφεωρακὼς μόνον ἐκεῖνο, ἐὰν ἄρα οἷός τε γένηται τοὺς δανειστὰς διὰ πειθοῦς ἀποστερῆσαι τὰ χρήματα, αὐτὸς πρόσεισι τῷ Σωκράτει. οὐκ ἔχων δὲ ὑπηρετοῦντα τῇ βουλήσει τὸν νοῦν, ἀλλὰ τοιοῦτος ὢν οἷς ἐμάνθανεν, οἷος καὶ πρὶν τῆς παιδείας ἐφῆφθαι, αὐτὸς μὲν ἀπέγνω παιδεύεσθαι, προσελθὼν δὲ τῷ παιδὶ καὶ αὖθις πολλαῖς πέπεικε ταῖς δεήσεσιν ἕνα τῶν Σωκράτους ὁμιλητῶν γενέσθαι. ὁ δὲ καὶ γέγονε καὶ μεμάθηκε. συνίσταται δὲ τὸ δρᾶμα ἐκ χοροῦ Νεφελῶν. ἔχει δὲ κατηγορίαν τοῦ Σωκράτους, ὅτι τοὺς συνήθεις θεοὺς ἀφεὶς καινὰ ἐνόμιζε δαιμόνια, Ἀέρα καὶ Νεφέλας καὶ τὰ τοιαῦτα.]

## IX.

[Πρεσβύτης τις Στρεψιάδης ὑπὸ δανείων καταπονούμενος διὰ τὴν ἱπποτροφίαν τοῦ παιδὸς, δεῖται τούτου φοιτήσαντα εἰς τὸν Σωκράτην μαθεῖν τὸν ἄδικον λόγον, ὅπως μηδενὶ τῶν δανειστῶν μηδὲν ἀποδώσῃ. μὴ βουλομένου δὲ τοῦ παιδὸς, εἰσέρχεται αὐτός. καὶ μὴ δυνάμενος μαθεῖν διὰ τὸ γῆρας ἐκδιώκεται. ὑποστρέψας δὲ καὶ τῷ υἱῷ πείσας ἤγαγεν αὐτὸν τῷ Σωκράτει, ὃς καλέσας τὸν δίκαιον λόγον καὶ ἄδικον καὶ αἵρεσιν τῷ νέῳ δοὺς ἐκλέξασθαι, διδάσκει ἐκεῖνον τὸν ἄδικον λόγον. μαθὼν δὲ ὁ υἱὸς ὅπερ ἐβούλετο ὁ πατὴρ καὶ τὴν παχύτητα ἐκείνου καταγνοὺς τύπτει τὸν πατέρα αὐτὸν ἑστιῶντα. ὁ δὲ ἀλγήσας διὰ τὴν τοῦ παιδὸς ἀσέβειαν ἀπελθὼν κατακαίει τὸ φροντιστήριον, νομίσας Σωκράτην αἴτιον τῆς ἀσεβείας τοῦ παιδὸς εἶναι. κατηγορεῖ δὲ ἐνταῦθα τοῦ Σωκράτους ὡς ἀσεβοῦς καὶ ξένους θεοὺς ἐπεισάγοντος, ἀφέντος τοὺς συνήθεις. ἐπιγράφεται δὲ Νεφέλαι, διότι παρεισάγεται χορὸς Νεφελῶν ὁμιλῶν τῷ Σωκράτει, ἃς ἐνόμιζε θεὰς, ὡς Ἀριστοφάνης κατηγορεῖ. ὁ γὰρ Ἄνυτος καὶ Μέλητος φθονοῦντες Σωκράτει καὶ μὴ δυνάμενοι ἄλλως βλάψαι ἢ φανερῶς κατηγορῆσαι μεγάλου ὄντος ἱκανὸν ἀργύριον δεδώκασιν Ἀριστοφάνει ταύτην τὴν κωμῳδίαν κατ' ἐκείνου γράψαι. τὰ δὲ πρόσωπα Στρεψιάδης, Φειδιππίδης, μαθητὴς Σωκράτους, Σωκράτης, χορὸς Νεφελῶν, δίκαιος λόγος, ἄδικος λόγος, Πασίας δανειστὴς, μάρτυς.]

## X.

[Τὸ δρᾶμα τῶν Νεφελῶν κατὰ Σωκράτους γέγραπται τοῦ φιλοσόφου ἐπίτηδες, ὡς κακοδιδασκαλοῦντος τοὺς νέους Ἀθήνησι, τῶν κωμικῶν πρὸς τοὺς φιλοσόφους ἀπεχθῶς ἐχόντων. ἄλλοι δέ φασι τὸν Ἀριστοφάνην τὸ τῶν Νεφελῶν συντάξασθαι δρᾶμα ὑπὸ Ἀνύτου καὶ Μελήτου παροξυνθέντα. βουλόμενοι γὰρ οὗτοι γραφὴν ποιήσασθαι κατὰ Σωκράτους καὶ θέλοντες πεῖραν λαβεῖν τῆς τῶν Ἀθηναίων γνώμης περὶ Σωκράτους ὁποῖοί τινες ἂν φανεῖεν, κατ' αὐτοῦ γραφῆς ἐνισταμένης, πολλοὺς γὰρ εἶχεν ἐραστὰς ἐκεῖνος καὶ μάλιστα τοὺς περὶ Ἀλκιβιάδην, οἳ καὶ ἐπὶ τοῦ δράματος τούτου μηδὲ νικῆσαι ἐποίησαν τὸν ποιητὴν, τοῦθ' ἕνεκεν αὐτὸν ἐπὶ τὴν τοῦ δράματος τοῦδε παρώτρυναν ποίησιν χρήμασιν αὐτὸν ἱκανοῖς, ὡς λόγος, δεξιωσάμενοι. ἐστὶ δὲ ὁ τοῦ δράματος προλογός τε καὶ ἡ ὑπόθεσις δεξιώτατα καὶ ἁρμοδιώτατα συγκείμενα. πλάττεται γάρ τις ἄγροικος πρεσβύτης Στρεψιάδης ὄνομα ἀχθόμενος παιδὶ Φειδιπ-

πίδῃ καλουμένῳ φρονήματος γέμοντι ἀστικοῦ, καὶ διὰ τὴν τῆς οἰκίας εὐγενείας πολυτέλειαν πάντα τὰ τοῖς γονεῦσι προσόντα καταναλώσαντι, καὶ μάλιστα εἰς ἱπποτροφίας. ἡ γὰρ τῶν Ἀλκμαιωνιδῶν οἰκία ὅθεν ἦν τὸ πρὸς μητρὸς γένος τῷ μειρακίσκῳ ἐξ ἀρχῆς, ὥς φησιν Ἡρόδοτος, ἱπποτρόφος ἦν καὶ πολλὰς ἀνῃρημένη τὰς νίκας, τὰς μὲν Ὀλυμπίασι, τὰς δὲ Πυθοῖ, ἐνίας δὲ Ἰσθμοῖ καὶ Νεμέᾳ, καὶ ἄλλας ἐν ἄλλοις. εὐδοκιμοῦσαν οὖν ὁρῶν ὁ νεανίσκος ἀπέκλινε πρὸς τὸ ἦθος τῶν πρὸς μητρὸς προγόνων. ὁ πατὴρ οὖν Στρεψιάδης ὑπὸ τῶν χρεῶν καταπονούμενος διὰ τὴν τοῦ παιδὸς ἱπποτροφίαν βούλεται προσαγαγεῖν τῷ Σωκράτει τὸν παῖδα, ἵν᾽ ὑπ᾽ αὐτοῦ διδαχθείη τὸν ἄδικον λόγον, ὡς ἂν ἐντεῦθεν δι᾽ αὐτοῦ τοὺς δανειστὰς ἀποκρούσηται. δεῖται οὖν τοῦ παιδὸς πεισθῆναι τοῖς βεβουλευμένοις αὐτῷ· μὴ πεισθέντος δὲ τούτου, διαγνοὺς αὐτὸς ἐλθὼν μανθάνειν μηδεμίαν τῆς τοῦ γήρως ἡλικίας φροντίδα ποιησάμενος, μηδ᾽ ἐνθυμηθεὶς εἴ τισιν ἄτοπον δόξειεν ἀνὴρ ἐν γήραος οὐδῷ μανθάνειν καθάπερ κομιδῇ νέος ἀρχόμενος, ἀλλ᾽ εἰς ἓν ἀφεωρακὼς μόνον ἐκεῖνο, ἐὰν ἄρα οἷός τε γένηται τοὺς δανειστὰς διὰ πειθοῦς ἀποστερῆσαι τὰ χρήματα, αὐτὸς πρόσεισι τῷ Σωκράτει, καὶ μαθητήν τινα τοῦ Σωκράτους καλείσθαι (l. καλέσας) διαλέγεται περὶ τούτου, καὶ τῆς διατριβῆς διαλυθείσης, οἱ μαθηταὶ κύκλῳ καθήμενοι πιναροὶ συνορῶνται καὶ αὐτὸς δὲ ὁ Σωκράτης ἐπὶ κρεμάθρας αἰωρούμενος καὶ ἀποσκοπῶν τὰ μετέωρα θεωρεῖται. μετὰ ταῦτα τελεῖν παραλαβὼν τὸν πρεσβύτην καὶ τοὺς νομιζομένους παρ᾽ αὐτῷ θεοὺς παραδοῦναι Ἀέρα τε καὶ Αἰθέρα, πρὸς δὲ καὶ Νεφέλας μετακαλεῖται· πρὸς δὲ τὴν εὐχὴν εἰσέρχονται Νεφέλαι χοροῦ σχῆμα πληροῦσαι· καὶ φυσιολογήσαντος οὐκ ἀπιθάνως τοῦ Σωκράτους ἀποστραφεῖσαι πρὸς τοὺς θεατὰς περὶ πλειόνων διαλέγονται. μετὰ ταῦτα ὁ πρεσβύτης διδασκόμενος μὲν ἐν τῷ φανερῷ, μὴ ἔχων δ᾽ ὑπηρετοῦντα τῇ βουλήσει τὸν νοῦν, εἰς γέλωτα κινῆσθαι (l. κινήσας) τοὺς μαθητὰς τοῦ διδασκαλείου ἐκβάλλεται καὶ προσελθὼν αὖθις τῷ παιδὶ, πολλαῖς πέπεικε ταῖς δεήσεσιν ἕνα τῶν Σωκράτους ὁμιλητῶν γεγενῆσθαι. συνίστησιν οὖν αὐτὸν τῷ Σωκράτει καὶ ἐξαγαγόντος Σωκράτους ἐν τῷ θεάτρῳ τὸν ἄδικον καὶ τὸν δίκαιον λόγον, διαγωνίζονται πρὸς ἀλλήλους οἱ λόγοι καὶ νικηθεὶς ὁ ἄδικος παραλαβὼν τὸν νέον πρὸς τὸ διδάξαι, καὶ ἱκανῶς ἐκδιδάσκει. ὡς οὖν ἤδη ἐκπεπονημένον κομισάμενος αὐτὸν ὁ πατὴρ ἐπηρεάζει τοῖς χρήσταις, καὶ ὡς κατωρθωκὼς τὸ σπουδαζόμενον εὐωχίαν συνίστησιν· ἐν ᾗ καὶ ἀντιλογίας γινομένης πληγὰς λαβὼν ὑπὸ τοῦ παιδὸς βοὴν ἵστησι· καὶ προσκαταλαλούμενος ὑπὸ τοῦ παιδὸς ὅτι δίκαιον τοὺς πατέρας ὑπὸ τῶν υἱῶν τύπτεσθαι ὑπεραλγῶν τούτου χάριν κατασκάπτει καὶ ἐμπίπρησι τὸ σωκρατικὸν φροντιστήριον. ἔστι δὲ τὸ δρᾶμα τῶν πάνυ δυνατῶς πεποιημένων.]

# SCHOLIA IN NUBES.

[Ἡ εἴσθεσις τοῦ δράματος ἄρχεται ἐκ συστηματικῆς περιόδου, καὶ ἑξῆς ἐκ προσώπων ἀμοιβαίων· οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι σνθ´, ὧν προτίθεται ἐν ἀρχῇ τοῦ δράματος κῶλον ἰαμβικὸν μονόμετρον ἀκατάληκτον. ἐν ἐκθέσει κῶλον ἰαμβικὸν μονόμετρον ἀκατάληκτον· καὶ μετὰ τὸν διακοσιοστὸν τριακοστὸν τρίτον ἕτερον κῶλον ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον. τελευταῖος δὲ πάντων τούτων οὗτος

καταπαττόμενος γὰρ παιπάλη γενήσομαι.

ἐπὶ ταῖς ἀποθέσεσι τῶν συστημάτων παράγραφος. ἐπὶ δὲ τῷ τέλει πάντων τῶν στίχων κορωνίς.]

1. ἰοὺ ἰού : Σχετλιαστικὸν ἐπίρρημα. διὰ γὰρ τὸ ἐγρηγορέναι καὶ ἀγρυπνεῖν δυσφορῶν ἀναβοᾷ. συμβαίνει γὰρ τοῖς ἀγρυπνοῦσι (μάλιστα) μεγάλας τὰς νύκτας νομίζειν. [ἠγρύπνει δὲ ὁ Στρεψιάδης μὴ δυνάμενος ὑπνώττειν ὑπὸ τῆς τῶν χρεῶν φροντίδος. τὸ δὲ προοίμιον σχετλιαστικὸν ἐκ τοῦ πράγματος.]

2. βασιλεῦ : Οὐκ ἀργῶς χρὴ τοῦτο νομίζειν εἰρηκέναι τὸν ποιητήν· ἔχεται γὰρ ἱστορίας τὸ ὦ Ζεῦ βασιλεῦ τοιαύτης. τοῖς Ἀθηναίοις Πυθόχρηστον ἐγένετο καταλῦσαι μὲν τὰς βασιλείας, προστήσασθαι δὲ καὶ σέβειν Δία βασιλέα. ὥστε τὸ λεχθὲν τῆς ἱστορίας ταύτης ἔχεσθαι χρὴ νομίζειν. — εἰώθασι δὲ παρὰ τὰς συμφορὰς ἀναβοᾶν τὸν Δία, ὡς παρὰ τῷ ποιητῇ [Iliad. Κ, 15] Ἀγαμέμνων « προθελύμνους ἕλκετο χαίτας ὑψόθ᾽ ἐόντι Διί. » R. V.

τὸ χρῆμα τῶν νυκτῶν : Τὸ μέγεθος, τὸ ἔκταμα. (ἔθος δὲ τοῖς Ἀττικοῖς ἐπαγωγῇ χρῆσθαι, οἷον, ἵππος σπάνιόν τι χρῆμα· [καὶ] γυνὴ σπάνιόν τι χρῆμα· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως ὧν ἂν ἐξευρεῖν βούλωνται μάλιστα.) — αἱ νύκτες. ὅσον : Πολύ. Θ.

3. ἀπέρατον : Ἀντὶ τοῦ μέγα, οὗ πέρας οὐκ ἔστιν. οἱ δὲ ἀπέραντον μετὰ τοῦ ν γράφοντες ἁμαρτάνουσι. ζητεῖται δὲ πῶς μεγάλας τὰς νύκτας λέγει. Διονυσιακοῦ γὰρ ὄντος τοῦ δράματος, συνεστάλθαι τὰς νύκτας ἀνάγκη, διὰ τὸ τοιούτῳ καιρῷ ὑποπίπτειν τὰ Διονύσια· πλὴν εἰ μὴ τούτῳ μεγάλαι καταφαίνονται (τῷ φροντίζειν καὶ ἀγρυπνεῖν), ὅπερ συμβαίνει πάσχειν τοὺς ἀγρυπνοῦντας. παρεπιγραφὴ δέ. συγκεκαλυμμένος καὶ καθεύδων ὑποτίθεται ἐξανακαλυψάμενος καὶ ἔξω τὴν κεφαλὴν ποιήσας τοῦ περιβλήματος. — ἀπλήρωτον, ἀτελείωτον. *Br.* ἀπέρατον, τὸ μὴ ἔχον πέρας· ἀπέραντον δὲ, τὸ μὴ περαινόμενον, καὶ τὸ ὅπερ μὴ δύναιτ᾽ ἄν τις ἐξελθεῖν. C. ἀτελές· οἱ γὰρ ἀγρυπνοῦντες ὑπὸ φροντίδος τινὸς μεγάλας τὰς νύκτας λογίζονται. Θ.

4. ἀλεκτρύονος : Τούτου γὰρ ἡ φωνὴ ἔμφασιν ἡμέρας παρίστησιν. Θ.

5. οἱ δ' οἰκέται ῥέγκουσιν : [Οὕτως Ἀττικοὶ διὰ τοῦ κ.] νῦν οἰκέτας οὐ τοὺς θεράποντας μόνον λέγει, ἀλλὰ πάντας τοὺς κατὰ τὴν οἰκίαν. καθεύδουσι νῦν, φησίν, ὡς τῶν ἄλλων μὲν ἀμεριμνούντων, αὐτοῦ δὲ φροντίζοντος. διὰ τοῦτο δὲ ῥέγκουσιν εἶπεν, ἵνα μᾶλλον αὐτοὺς δείξῃ πάσης ὄντας ἔξω φροντίδος. τῶν γὰρ βαθέως καθευδόντων ἴδιον τὸ ῥέγκειν, τῶν δὲ μηδὲν φροντιζόντων τὸ βαθέως κοιμᾶσθαι. — ῥέγκουσι : ἔστι δὲ Ἀττικόν. ἐπεὶ καὶ ῥέγχουσι γρ. τὸ δὲ ῥέγκουσιν ἀπὸ τῶν Ἰώνων λέγουσι λαβόντες, οἵτινες ἀεὶ τὰ δασέα εἰς ψιλὰ τρέπουσι. Harl. 5. βαθέως ὑπνώττουσι καὶ ὅ φασιν ἰδιωτικῶς ῥοχαλίζουσι. Θ.

(ἀλλ' οὐκ ἂν προτοῦ : Ἀλλ' οὐκ ἂν πρότερον. ἐν γὰρ τῇ εἰρήνῃ, φησίν, ἐξέπεμπον αὐτοὺς ἐργασομένους εἰς τοὺς ἀγρούς, ὡς ὑπὸ τῆς περὶ τὴν γεωπονίαν ἀσχολίας μὴ ἀνέτως μηδὲ οὕτω βαθέως δύνασθαι καθεύδειν.)

6. ἀπόλοιο δῆτ', ὦ πόλεμε : Πόλεμος ἦν κατ' ἐκεῖνο καιροῦ καὶ τοσοῦτον ἐδυστύχησαν Ἀθηναῖοι ὥστε μηδὲ τὰ σώματα τῶν ἀποθανόντων ταφῆναι ἕως οὗ οἱ δοῦλοι ἐξελθόντες ἐνίκησαν τοὺς Λακεδαιμονίους περὶ Ἀργενούσας καὶ τὰ σώματα τῶν ἀποθανόντων ἐκόμισαν καὶ διὰ τοῦτο ἠλευθερώθησαν καὶ οὐκ ἐξῆν οὐδενὶ τύπτειν δοῦλον. ἢ ὅτι ἐν εἰρήνῃ ἐξέπεμπον αὐτοὺς ἐργασομένους εἰς τὸν ἀγρόν, ὡς ὑπὸ τῆς περὶ τὴν γεωργίαν σχολῆς μὴ δύνασθαι οὕτω (βαθέως) καθεύδειν. R. V. [φασὶν ὡς Ἀθηναῖοι, Λακεδαιμονίοις ἐν Ἀργινούσαις ναυμαχήσειν μέλλοντες, προεῖπον τοῖς δούλοις, ὡς εἴ τις αὐτῶν συμπαρατάξεται τῇ ναυμαχίᾳ, τιμῆς εἰς τὸ λοιπὸν ἀπολαύσειεν. βοηθησάντων οὖν τῶν δούλων, Λακεδαιμονίους ἐνίκησαν. καὶ ταῦτα μέν τινες φάσκουσι. τὸ δ' ἀληθὲς οὕτως ἔχει. Ἀθηναίοις καὶ Λακεδαιμονίοις πόλεμος ἦν. οὐκ ἤθελον οὖν Ἀθηναῖοι τοὺς δούλους κολάζειν, εἴ τι πταίσαιεν, δεδιότες μὴ πρὸς Λακεδαιμονίους αὐτομολήσωσι. τὸ δὲ ὅτε ποτὲ μὲν μόνον χρόνον δηλοῖ, ποτὲ δὲ καὶ χρόνον καὶ αἰτίαν, ὥς ἐστι κἀνταῦθα.]

7. ὅτ' : Ἐπεί. Θ.

8. ἀλλ' οὐδ' ὁ χρηστὸς οὑτοσὶ : Οὐκ ἐπαινῶν αὐτὸν χρηστόν φησιν, ἀλλ' εἰρωνευόμενος ἀντὶ τοῦ ἄχρηστος ἡμῖν γέγονεν. πῶς γὰρ δύναται θαυμάζειν, ὃν ἐπὶ ῥᾳθυμίᾳ διὰ τὸ καθεύδειν μέμφεται;

10. ἐγκεκορδυλημένος : Ἐγκεκαλυμμένος καὶ συνεστραμμένος ὥστε μηδὲ ἀνθρώπου σχῆμα δηλοῦν, (ἀλλ' ἐξοχὴν φαίνεσθαι τῶν στρωμάτων. κορδύλη δὲ ἰδίως λέγεται τὸ ἐν τῇ κεφαλῇ ὑπερεξέχον οἴδημα ὑπὸ πληγῆς εἰς ὕψος καὶ ὄγκον ἀρθέν, ὃ καλοῦμεν κόνδυλον. Κρέων δὲ ἐν τῷ πρώτῳ τῶν Κυπριακῶν κορδύλην φησὶ καλεῖσθαι τὸ πρὸς κεφαλῇ προσείλημα, ὃ δὴ παρὰ Ἀθηναίοις καλεῖται κρώβυλον, παρὰ δὲ Πέρσαις κιδάριον. ὅτι δὲ νῦν ἐγκεκορδυλημένος ἀντὶ τοῦ ἐνειλημένος καὶ ἐγκρύψας ἑαυτὸν δηλοῖ σαφέστερον ἐκ τῶν ἐπιφερομένων εἰπὼν « ἀλλ' εἰ δοκεῖ, ῥέγκωμεν ἐγκεκαλυμμένοι. ») ἰστέον δὲ ὅτι λήγοντος μὲν τοῦ χειμῶνος, ἀρχομένου δὲ ἔαρος ἄγεται τὰ Διονύσια, ὥστε διὰ τὸ κρύος καὶ ψῦχος εἰκὸς ἦν οὕτω καθεύδειν αὐτοὺς (τοιούτῳ σχήματι τὴν κεφαλὴν περιβεβλημένους, ὅθεν καὶ πέντε περιβόλαια περιβεβλῆσθαι τὸν υἱὸν εἶπε.) V. R. (ἐν πέντε σισύραις : Στερεὰ περιβλήματα παχέα ταῖς νῦν καλουμέναις ἐμφερῆ σισύραις. ἔστι δὲ φαῦλα καὶ μικρὰ περιβλήματα. ἰστέον ὅτι λήγοντος τοῦ χειμῶνος, ἀρχομένου δὲ τοῦ ἔαρος, γίνεται τὰ Διονύσια· ὥστε διὰ τὸ κρύος αὐτοὺς εἰκὸς καθεύδειν, τοιούτῳ σχήματι τὴν κεφαλὴν περιβεβλημένους, ὥστε καὶ πέντε περιβόλαια περιβεβλῆσθαι τὸν υἱόν. — ἐν : Ἐπί. Θ. σισύρη τὸ παχὺ ἱμάτιον ἀπὸ αἰγείων δερμάτων. *Vict.*

ἐγκεκορδυλημένος : Ἐγκεκρυμμένος. [ἐντετυλιγμένος. Θ.] κορδύλην γὰρ οἱ Κύπριοι λέγουσι τὸ περιείλημα τῆς κεφαλῆς. — ἐγκεκορδυλημένος : Ἐντετυλιγμένος, ἐγκεκρυμμένος. *Br.* ἀρχὴ γὰρ ἔαρος ἦν καὶ ἐνεκαλύπτοντο γούνναις ἔτι. Θ.

11. ἀλλ' εἰ δοκεῖ, ῥέγκωμεν : (Παρεπιγραφή. ποιήσας γὰρ ἀσχήμονα τὴν ὄψιν καὶ) τὸ σχῆμα τοῦ νεανίσκου μιμησάμενος, ὥσπερ ἐκεῖνος ἐκάθευδεν. ἀποστραφεὶς καὶ αὐτὸς πειρᾶται δῆθεν καθεύδειν, ἐγκρύψας τὴν κεφαλὴν τοῖς περιβλήμασι. — τοῦτο πρὸς ἑαυτὸν λέγει. ῥέγκωμεν : Ἀττικόν. ἐγκεκαλυμμένοι : Ἐσκεπασμένοι. Θ.

12. [ἀλλ' οὐ δύναμαι : Ἀλλ' οὐκ ἔπεισί μοι ὕπνος. εὐθὺς δὲ καὶ τὴν αἰτίαν ἐπάγει τοῦ μὴ δύνασθαι καθεύδειν.]

δείλαιος : Ἄθλιος, κακοδαίμων.

δακνόμενος : Ἐνοχλούμενος ὑπὸ τῶν τῆς ἱπποτροφίας ἀναλωμάτων. δοκεῖ γὰρ δαπανηρὸν εἶναι τὸ ἵππους τρέφειν· (ὅπερ καὶ τῇ Λακωνικῇ προτέζευκται κατάρᾳ. καὶ γὰρ δὴ καὶ τοῦτο οἱ Λακεδαιμόνιοι ἐν κατάρας ἔθεσαν μέρει. τὸ δὲ δακνόμενος ἔλαβεν ἀπὸ τοῦ αὐτὸν κατακεκλεῖσθαι εἴσω τῶν στρωμάτων [καὶ τῶν περιβλημάτων]. τὸ δὲ) χρεῶν νῦν περισπαστέον. δηλοῖ γὰρ τῶν ὀφλημάτων. (εἴρηται δὲ παρὰ τὸ χόρεων. δαπάνην δέ, τουτέστι τὰς δέσμας τοῦ χόρτου, ἵνα ἑξῆς ἀκολούθως τῇ φάτνῃ λέγειν δοκῇ.) — ἐνοχλούμενος. *Br.*

14. ὁ δὲ κόμην ἔχων : Ἐκόμων γὰρ οἱ περὶ ἱππικὴν ἔχοντες. κἀν τοῖς Ἱππεῦσι. [580]

μὴ φθονεῖθ' ἡμῖν κομῶσι μηδ' ἀπεστλεγγισμένοις.

[15.] ἱππεύεταί τε καὶ ξυνωρικεύεται : (Νῦν μὲν ἐπὶ κέλητος, νῦν δὲ ἐπὶ ξυνωρίδος ἅρματος ὀχούμενος ἄνω καὶ κάτω βακχεύει.) ξυνωρὶς τὸ μὴ πλῆρες ἅρμα, ἀλλ' ἐκ δυοῖν ἵππων συνεστός, ὃ δὴ δίφρον καλοῦμεν. τὸ δὲ ἱππεύεσθαι, οὐχ ἁπλῶς χρείαν περὶ ἱππικὴν ἔχειν, ἀλλὰ τὸ ἐπὶ ἑνὸς ἵππου ὀχεῖσθαι, ὃ καὶ νῦν κέλητα καλοῦσιν. — ἱππάζεται : Ἐν ἵππῳ ὀχεῖται. ξυνωρικεύεται : Ἐπὶ δίφρου φέρεται. *Br.*

16. ὀνειροπολεῖ θ' ἵππους : Κἀν τοῖς ὀνείροις ἵππους περινοεῖ. τουτέστιν, οὕτω προστέτηκε τῷ πράγματι

καὶ οὕτω περὶ ἵππους ἐσπούδακεν, ὥστε καὶ καθεύδων ὀνείρατα περὶ ἵππων ὁρᾶν. τὸ ὀνειροπολεῖν δὲ καὶ ὀνειρώττειν ταύτῃ διενήνοχεν, ὅτι τὸ μὲν ὀνειροπολεῖν ἐπὶ τῶν ἐνύπνιον ὁρώντων, τὸ δὲ ὀνειρώττειν ἐπὶ τῶν διὰ νυκτὸς αὐτομάτως ἀφιέντων γόνον· (ὅπερ τοῖς ἐν ἐπιθυμίᾳ τινὸς οὖσι συμβαίνει γίνεσθαι, δοξάζουσι τοῖς παιδικοῖς συνεῖναι). — ὀνειροπολεῖ : Ἤγουν ἐν ὀνείρασι φαντάζεται. Θ. *et Br*.

[17]. ὁρῶν ἄγουσαν τὴν σελήνην εἰκάδας : Ἤτοι ὅτι μετὰ τὴν εἰκάδα ὁ μὴν προσεγγίζει τῇ τριακάδι καὶ τῶν δανείων οἱ τόκοι αὐξάνονται· (ἢ ὅτι αἱ μυστικαὶ δαπάναι ὑπῆρχον. οἱ Ἀττικοὶ δὲ τὰς εἰκάδας πληθυντικῶς λέγουσιν. Ἄλλως. ἐπεὶ ἡ σελήνη ἐν ἡμέραις εἰκοσιεννέα τελεῖται, τὰ δὲ κʹ τῶν εἰκοσιεννέα ἐγγύς, ἐδίδοντο δὲ ἐν τῷ τέλει τῆς σελήνης οἱ τόκοι, διὰ τοῦτο εἰκάδας εἶπεν. ἢ τὸ εἰκάδας μὴ νόει διὰ μόνα τὰ εἴκοσιν, ἀλλὰ καὶ διὰ τὰ ἐφεξῆς. τούτου γὰρ ἕνεκα πληθυντικῶς εἴρηται.) — ἤγουν ἤδη εἰς τέλος ἰοῦσαν. Θ.

18. ἅπτε παῖ λύχνον : (Ταῦτα πάντα παρεγκυκλήματά εἰσι καὶ παρεπιγραφαί.) δεῖ γὰρ τὸν οἰκέτην τὸ προσταχθὲν ποιῆσαι, καὶ ἅψαι τὸν λύχνον, καὶ δοῦναι τὸ βιβλίον, ἔπειτα καὶ ὁρᾶν εἰς τὸ βιβλίον καὶ οὕτω λέγειν τοὺς δανειστάς.

20. λογίσωμαι : Ψηφίσω. R. λογαριάσωμαι, λογαριάσω. Θ. *Br*.

[21]. δώδεκα μνᾶς Πασίᾳ : Τοῦτον ὡς ἱπποτρόφον καὶ διαπορθήσαντα τὴν οὐσίαν παρεισήγαγε. χαριέντως δὲ τούτου νῦν μνημονεύει, ἐπεὶ καὶ αὐτὸς δι' ἱπποτροφίαν δοκεῖ δυστυχεῖν.

22. (τοῦ δώδεκα μνᾶς : Καὶ τοῦτο παρεγκύκλημα ἐφίστησιν. ὡς διαπορῶν τοῦ δανείου τὴν αἰτίαν, εἶτα ἀναμνησθεὶς τὰ ἑξῆς ἐπάγει.) [τοῦ δώδεκα : Μὴ λάβῃς εἰς τὸ τοῦ ἔξωθεν τὸ ἕνεκα, ὡς οἴονταί τινες· ἀλλ' ἔστιν ἡ τοιαύτη γενικὴ πρὸς τὸ μνᾶς.] ἀντὶ τοῦ, ἐκ τοῦ δανείου ἐκείνου τί ἠγόρασα; R. τοῦ : Ἕνεκεν τίνος πράγματος. τί : Ἐς τί; κατὰ τί; *Br*.

23. τὸν κοππατίαν : Κοππατίας ἵππους ἐκάλουν, οἷς ἐγκεχάρακται τὸ κ στοιχεῖον, ὡς σαμφόρας τοὺς ἐγκεχαραγμένους τὸ σ. (τὸ γὰρ σ καὶ τὸ κ χαρασσόμενον σὰν ἔλεγον καὶ κόππα. αἱ δὲ χαράξεις αὗται καὶ μέχρι τοῦ νῦν σώζονται ἐπὶ τοῖς ἵπποις. συζευγνυμένου γὰρ τοῦ κ καὶ σ τὸ σχῆμα τοῦ ϛ ἀριθμοῦ δύναται νοεῖσθαι, οὗ προηγεῖται τὸ κόππα. καὶ παρὰ τοῖς γραμματικοῖς οὕτω διδάσκεται, καὶ καλεῖται κόππα ἐνενήκοντα. τινὲς δὲ κοππατίαν ἐξηγήσαντο τὸν κόπτοντα καὶ κοιλαίνοντα ταῖς ὁπλαῖς τὸ ἔδαφος, οὐ δεόντως ὑποτιθέμενοι. οὐδὲ γὰρ βουκεφάλας καλοῦμεν διὰ τὸ μορφὴν τοιαύτην ἔχειν, ἀλλὰ διὰ τὸ οὕτω κεχαράχθαι, οἷος, οἶμαι, καὶ ὁ τοῦ Ἀλεξάνδρου τοῦ Μακεδόνος ἵππος ἦν, ᾧ τελευτήσαντι τὴν Βουκεφάλειαν Ἀλέξανδρος ἔκτισεν, ἐντάφιον αὐτῷ τῆς ἀρετῆς χαριζόμενος πόλιν.)

24. εἶθ' ἐξεκόπην : Ἔπαιξε τὸ ἐξεκόπην παρὰ τὸ κοππατίαν. φησὶ δὲ, ὤφελον πρὶν πρίασθαι τὸν ἵππον, τὸν ὀφθαλμὸν ἐκκεκόφθαι (παταχθεὶς αὐτὸν) λίθῳ. — ἐξεκόπην : Ἐξέβαλον. λίθῳ : Διὰ λίθου. *Cod. in Catal. codd. Nanian.* p. 478.

25. Φίλων, ἀδικεῖς : Ὁ Φειδιππίδης καθεύδων ὡς ὀνειροπολῶν λέγει πρὸς τὸν ἑταῖρον αὐτοῦ. R. (ὁ νεανίσκος Φειδιππίδης ταῦτα καθεύδων ὑποφθέγγεται, ὥς τινα συνηνιοχοῦντα μεμφόμενος, ὅτι δέον αὐτὸν ἐλαύνειν μὴ ὑποσκελίζοντα μηδ' ὑποθέοντα τὰς τῶν ἵππων ὁδοὺς, ὡς ἀνεπικωλύτως θέοιεν, ὁ δ' ὑποθέει καὶ ἐμποδίζει προλαμβανόμενος τῶν ἵππων τῶν ἐκείνου τὸν δρόμον. δεῖγμα δὲ τῆς περὶ τὴν ἱππικὴν αὐτοῦ σπουδῆς τὸ φροντίζειν καὶ καθεύδοντα περὶ τούτων. τὸ δὲ Φίλων οἱ μέν φασιν ἀναρμόστως καθ' ὕπνον εἰρηκέναι τὸν νεανίσκον ἀντὶ τοῦ, ὦ φίλε, οἱ δὲ κύριον ἡνιόχου.)

28. πόσους δρόμους : [Ὀνειρώττων εἶπε πόσους δρόμους. εἷς δ' ἐστὶν ὑπὸ τῆς ἀφετηρίας μέχρι τοῦ καμπτῆρος. οἱ δ' ἡνίοχοι καθωπλισμένοι ἤλαυνον. τοῦτο δὲ εὗρεν ὁ Θησεύς.] πόσους καμπτοὺς πεποίηκας; ἐστὶ δὲ εὕρημα τοῦτο τοῦ Θησέως. R.

[πολεμιστήρια; Καὶ τοῦτο καθ' ὕπνους λέγει. τὰ ἁμιλλητήρια ἅρματα ὤφειλεν εἰπεῖν· ὁ δὲ ὑπὸ τοῦ ὕπνου ὥσπερ τοῦ ὀρθοῦ ἐκπίπτων τὰ πολεμιστήριά φησι. πολεμιστήρια γὰρ ἅρματα λέγονται τὰ τοῖς πολέμοις ἁρμόδια, ἁμιλλητήρια τὰ ἐν ταῖς ἁμίλλαις συνεργοῦντα, ἀγωνιστήρια δὲ τὰ ἐν τοῖς ἀγῶσι. Θ. — κατά τινας ἀγὼν Ἀθήνησιν ἱππικοῦ δρόμου. ἕνα δὲ δρόμον ἐκεῖ τρέχουσιν, ὥστε τὰ ἁμιλλητήρια πληθυντικῶς εἶπεν ὁ νέος, σφαλλόμενος ἐκ τοῦ ὀνειροπολεῖν. πολεμιστήρια καλοῦνται καὶ τὰ πολεμικὰ ἅρματα, ἐφ' ὧν ὁπλίτης ἐπιβέβηκεν ἅμα τῷ παραβάτῃ. ταῦτα δὲ ἐξεῦρεν ὁ Θησεύς. ἁμιλλητήρια δὲ τὰ ἀγωνίσματα. Ἄλλως. δέον εἰπεῖν, πόσους δρόμους ἐλαύνει τὰ ἁμιλλητήρια· ἀντὶ τοῦ πόσοι δρόμοι εἰσὶ τῆς ἁμίλλης· ὁ δὲ ἐπειδὴ καθ' ὕπνους τοῦτ' ἔλεγε, πολεμιστήρια εἶπεν. ὁ γὰρ νοῦς τῶν ὀργάνων ἀργούντων τῷ ὕπνῳ εἰκῇ φέρεται.]

29. ἐλαύνεις : Πολλὰς στροφὰς φροντίδων στρέφεσθαί με ποιεῖς διὰ τὰ σὰ χρέα. Θ. στρέφεσθαί με ποιεῖς, ἤγουν πολλὰς στροφὰς φροντίδων διεγείρεις. *Br*.

30. [ἀτὰρ τί : Τί δὴ μετὰ ταῦτα ὄφλημά με κατέλαβεν. Εὐριπίδης· «τί χρέος ἔβα δῶμα.»] — χρέος : ὄφλημα. *V*. ἔβα με : Κατέλαβε. *Br*. ἦλθε, κατέλαβε. Θ.

31. τρεῖς μναῖ διφρίσκου : Διφρίσκου καλεῖ τὸ σκεῦος ἐν ᾧ οἱ ἡνίοχοι ἐφεστῶτες ἐλαύνουσιν. ὑποκοριστικῶς (δὲ εἶπε τοὺς διφρίσκους, διὰ τὸ μικροὺς εἶναι καὶ κούφους τοῖς ἀγωνιζομένοις πρὸς τοὺς ἀγωνιστικούς).

Ἀμυνίας τῶν περὶ ἵππους ἐπταικότων. (μέμνηται δὲ αὐτοῦ καὶ ἐν τοῖς Σφηξί [1267]. νῦν δὲ οὐχ ἐκείνου καθάψασθαι βουλόμενος μνημονεύει αὐτοῦ, ἀλλὰ τὸν τότε ἄρχοντα διασύρειν προαιρούμενος τῇ ἐκείνου προσηγορίᾳ ἐχρήσατο. τότε γὰρ ἦρχεν Ἀμεινίας τοῦ Προνάπους υἱός. ἐπεὶ οὖν τοὺς Ἀθηναίους πρότερον κωμῳδεῖν τὸν ἄρχοντα ὁ νόμος ἐκώλυεν, ἀφαιρέσει μὲν τοῦ ι, προστεθέντος δὲ τοῦ υ, παρατρέψας ὀλίγον Ἀμυνίαν αὐτὸν εἶπεν ἀντὶ τοῦ Ἀμεινίαν.) — ὀφείλονται. Θ.

32. ἄπαγε τὸν ἵππον ἐξαλίσας : [Καὶ τοῦτο ὀνειρο-

πολούμενος ὁ νεανίσκος λέγει. ἐξαλίσας δὲ, ἐκκυλισθῆναι ποιήσας. καὶ τὸν τόπον, ἐν ᾧ τιθέντες ἑαυτοὺς οἱ ἵπποι τοῦτο ποιοῦσιν, ἀλινδήθραν ἐκάλουν· ὥς που καὶ ἐν τοῖς Βατράχοις [904] ὁ αὐτὸς ποιητὴς ἀλινδήθρας τε καὶ ἐγκυλίσματα.⟧ κυλίσας. *R.*

33. ⟦ἀλλ' ὦ μέλ' ἐξήλικας : Κατὰ ἀποκοπὴν τοῦ ε, Ἀττικῶς. οὕτω ἐν τοῖς παλαιοῖς τῶν ἀντιγράφων εὕρηται γραφόμενον.⟧

ἐξήλικας : Ἐξέβαλες, ἐξέωσας. R. ἐξέβαλες. V.

34. ⟦ὅτε καὶ δίκας ὤφληκα : Ἤγουν καὶ δίκας προσώφληκα. ἢ ὡς καὶ δίκας προσώφληκα. ἐπιτάσει δὲ χρῆται ταύτῃ, ὅτι πρὸς τῷ ζημιωθῆναι εἰς τὴν ἱπποτροφίαν, καὶ εἰς δίκας ἐπεπτώκειν. ἐπιτείνει γοῦν τὸ κακὸν, ὅτι πρὸς τῷ ζημιοῦσθαί με ἔτι καὶ δίκας ὀφείλω. καὶ γὰρ οὐ τοῦ δανείου χάριν, ἀλλὰ τοῦ τόκου ἐνεχυράσασθαι ἀπειλοῦσιν.

χἄτεροι τόκου : Ἀντὶ τοῦ, καὶ ἄλλοι. Ἀττικῶς εἶπε. λείπει ἡ ὑπέρ. καὶ ἕτεροι ὑπὲρ τόκου ἐνέχυρα παρ' ἐμοῦ λήψεσθαί φασιν. μᾶλλον δὲ τὴν ὄχλησιν δείκνυσι τὴν κατ' αὐτοῦ, δι' οὕς φησι τόκου χάριν ἐνεχυριάσειν αὐτὸν ἀπειλεῖν.⟧ ἐνέχυρα ὑπὲρ τόκου παρ' ἐμοῦ λήψεσθαι φησί. *V.* ἐνέχυρον ἐξ ἐμοῦ λαβεῖν. Θ. *Br.*

35. ἐτεὸν, ὦ πάτερ : (Ταῦτα οὐκέτι ὀνειροπολούμενος, ἀλλ' ἐγερθεὶς) λέγει τὸν πατέρα ἑωρακὼς ὀδυρόμενον.

36. τί δυσκολαίνεις καὶ στρέφῃ : Τί περιστρέφῃ συνεχῶς κόπτων σεαυτόν. ⟦συμβαίνει δὲ τοῖς ἀγρυπνοῦσι τοῦτο πάσχειν, τῇδε κἀκεῖσε ῥίπτειν ἑαυτοὺς καὶ μεταβάλλειν.⟧

37. δάκνει με δήμαρχός τις : ⟦Παίζων τὸν κόριν ἢ τὴν ψύλλαν καλεῖ. οἱ δὲ δήμαρχοι οὗτοι τὰς ἀπογραφὰς ἐποιοῦντο τῶν ἐν ἑκάστῳ δήμῳ χωρίων. καὶ τὰ ληξιαρχικὰ γραμματεῖα παρ' αὐτοῖς ἦν, συνῆγόν τε τοὺς δήμους, ὅτε δέοι, καὶ ψῆφον αὐτοῖς ἐπεδίδοσαν καὶ ἠνεχυρίαζον. Ἀριστοτέλης δὲ περὶ Κλεισθένους φησὶ « κατέστησε καὶ δημάρχους τὴν αὐτὴν ἔχοντας ἐπιμέλειαν τοῖς πρότερον ναυκράροις. καὶ γὰρ τοὺς δήμους ἀντὶ τῶν ναυκραρίων ἐποίησεν. » οἱ πρότερον ναύκραροι, εἴτε ὑπὸ Σόλωνος κατασταθέντες εἴτε καὶ πρότερον. οὗτοι δὲ τὴν πομπὴν τῶν Παναθηναίων ἐκόσμουν, Κλεισθένους καταστήσαντος ἀντὶ ναυκράρων. ἔστι δὲ δήμαρχος ὁ τὴν ἐπώνυμον ἀρχὴν ἄρχων. καὶ Ἀσκληπιάδης ὁ Ἀλεξανδρεὺς τοὺς κατὰ δῆμον ἄρχοντάς φησι. Δημήτριος δὲ ὁ Φαληρεὺς οὕτω φησὶ « καὶ « δημάρχους οἱ περὶ Σόλωνα καθίσταντο ἐν πολλῇ « σπουδῇ, ἵνα οἱ κατὰ δῆμον διδῶσι καὶ λαμβάνωσι τὰ « δίκαια παρ' ἀλλήλων. » ἔδει οὖν τὸν δήμαρχον ἀγαγεῖν εἰς τοὺς οἴκους τοὺς ἐνεχυριαζομένους.⟧ παίζει ὡς εἰ ἔλεγε κόρις ἢ ψύλλα. ὄνομα πολιτείας οἱ δήμαρχοι, οὓς ἐχρῆν ἐνεχυριάζειν τοὺς ἀγνώμονας τῶν χρεωστῶν. — δέον εἰπεῖν κόρεις. οἱ γὰρ κόρεις ἐν τοῖς στρώμασιν ὄντες τοὺς ὑπνοῦντας δάκνουσιν. ὁ δὲ μεμνημένος ὅτι εἰς δικαστήριον ἥξει ὑπὸ τῶν δανειστῶν, δήμαρχος φησί. δήμαρχος δέ ἐστιν ὁ τοῦ δήμου προστάτης, ὃν φασὶν ἰδιωτικῶς δοῦκαν. C. ἄρχων τοῦ δήμου. Θ.

38. καταδαρθεῖν : (Οἱ Ἀττικοὶ παροξύνουσι καταδάρθειν. κυρίως δὲ τὸ ἐπὶ δέρματος κοιμᾶσθαι. ταῦτα δὲ εἰπὼν ὁ νεανίσκος, συγκαλυψάμενος καὶ στραφεὶς πάλιν κοιμᾶται.) — ὦ δαιμόνιε : Κακοδαίμων. καταδαρθεῖν : Κοιμηθῆναι. *R.* Θ. *Vict.*

41. ⟦εἴθ' ὤφελ' ἡ : Τὸ ὤφελε τινὲς ἐπιρρηματικῶς δέχονται, ὡς τὸ [Callimachi Epigr. 18]

ὤφελε μηδ' ἐγένοντο θοαὶ νέες.

καὶ τὸ Εὐριπίδου ἐν Μηδείᾳ κατ' ἀρχὰς τοῦ δράματος· ἵν' ᾖ παράλληλον τὸ σχῆμα, τοῦ πρεσβύτου συνεχέστερον ἀπευχομένου τῇ προμνηστρίᾳ· ὁ δὲ ποιητὴς [Il. Σ, 367] ῥῆμα αὐτὸ οἶδεν,

οὐκ ὄφελον Τρώεσσι κοτεσσάμενος·

καὶ [Il. I, 698]

μὴ ὄφελες λίσσεσθαι ἀμύμονος Αἰακίδαο.⟧

(τὸ δὲ φεῦ ἰδίᾳ.)

ἡ προμνήστρι' ἀπολέσθαι : Ἡ προνοήσασα τῶν γάμων προμνήστρια καλεῖται· ἡ νῦν προξενήτρια. — ἡ τοῦ γάμου πρόξενος. Θ. *Br.*

(42). γῆμ' ἐπῆρε : Κυρίως τὸ ἐπῆρεν ἀντὶ τοῦ ἐχαύνωσεν καὶ ἀνεκούφισεν, ἐπαγγελλομένη προῖκα μεγάλην εἰσοίσειν τὴν γυναῖκα, οἰκουρὸν φάσκουσα εἶναι, μὴ οὕτως ἔχουσαν. [καταχρηστικῶς δὲ ἀνέπεισεν. — παρεκίνησε (Θ.), κατέπεισε. *Br.*]

43. ἄγροικος κυρίως ὁ ἰδιώτης, ἀγροῖκος δὲ ὁ ἐν τῷ ἀγρῷ οἰκῶν. οἱ δὲ Ἀττικοὶ ἐναλλάξ. Θ. ἥδιστος : ἄλυπος. *R.*

44. εὐρωτιῶν : Τοῦ εὐρωτιῶν ἐξήγησις τὸ εἰκῆ κείμενος. τοῖς γὰρ εἰκῆ καὶ ἀμελῶς κειμένοις ἱδρὼς προσίζει καὶ νοτίς. τοιοῦτος δὲ ὁ τῶν ἀγροίκων βίος, ὥσπερ αὖ ἐπιμελὴς καὶ καθάριος ὁ τῶν ἀστικῶν. τὸ δὲ ἀκόρητος ἀκαλλώπιστος. κορεῖν γὰρ τὸ καλλωπίζειν. R. V. ⟦ἀντὶ τοῦ ἱδρῶν. ἑρμηνεύει δὲ τοῦτο διὰ τοῦ, εἰκῆ κείμενος. εὐρωτιῶσι γὰρ τὰ εἰκῆ κείμενα, ὥσπερ νοτίδος αὐτοῖς ἐγγινομένης καὶ σηπούσης. καὶ εὐρὼς, ὁ σκώληξ. ἐπεὶ τοῖς ἀμελῶς κειμένοις ἱδρὼς προσίζει, τουτέστι νοτίς. τοιοῦτος δὲ ὁ τῶν ἀγροίκων βίος. ὁ γὰρ αὐτῶν οἶκος πυρῶν καὶ δερμάτων μεστὸς ὤν, οὐδεμίαν ἔχει τῶν τοιούτων πραγμάτων εὐθεσίαν, ἀλλ' ἄλλο ἀλλαχῆ κεῖται, ὡς ἔτυχε. τὸ δὲ ἀκόρητος, ἀπαλλώπιστος. κορεῖν γὰρ τὸ καλλωπίζειν· ὅθεν καὶ νεωκόρος. — ἀκόρητος : Ἀκαλλώπιστος. *Br.*⟧

45. βρύων : Αὔξων καὶ τεθηλώς. R. θάλλων. Θ. ⟦καὶ προβάτοις καὶ στεμφύλοις : Στέμφυλα κυρίως λέγεται τὰ ἀποπιέσματα τῶν ἐλαῶν. περιπτίσματα δὲ τὰ ἐκ τῶν σταφυλῶν ἀποπιεζόμενα. εὑρίσκεται δὲ καὶ ἀνάπαλιν τὰ στέμφυλα ἐπὶ τῶν σταφυλῶν καὶ τὰ περιπτίσματα ἐπὶ τῶν ἐλαῶν. — στέμφυλα λέγονται τὰ ἀποπιέσματα τῶν σταφυλῶν καὶ τῶν ἐλαιῶν. Θ. τεταριχευμέναις σταφύλαις. *Br.*⟧

46. τοῦ Μεγακλέους : ⟦Ἐδιπλασίασε τὸ ὄνομα εἰρω-

νευόμενος. τοῦ Ἀλκμαιωνιδῶν δὲ οὗτοί εἰσι γένους. αὐτὸς δὲ διεβάλλετο ὡς δοῦλος. ὁ πρῶτος οὖν Μεγακλῆς Κοισύρας ἦν υἱὸς, ἥτις ἦν ὑπερβαίνουσα γένει καὶ πλούτῳ. ἦν δὲ ἐξ Ἐρετρίας. διὸ καὶ κοισυρεῖσθαι τὸ μέγα φρονεῖν, παρ' Ἐρετριεῦσιν.] οὗτος τοῦ γένους ἦν τῶν Ἀλκμαιωνιδῶν. ἐδιπλασίασε δὲ τὸ ὄνομα. R. τοῦ κατὰ πολὺ ἐνδόξου. δὶς δὲ τὸ αὐτὸ εἶπεν εἰρωνευόμενος. Θ.

47. [ἀδελφιδῆν : Τοῦ ἀδελφοῦ αὐτοῦ θυγατέρα. Θ. — ἄγροικος ὢν ἐξ ἄστεος : Οὐκ ἀργῶς τῇ παραθέσει νῦν ἐχρήσατο. οὐ γὰρ ὀνειδίσαι βουλόμενος ἑαυτὸν ἄγροικον καλεῖ· ἀνόητον γὰρ καὶ ἄγροικον παντάπασι διαβάλλειν ἑαυτόν· ἀλλὰ πρῶτον μὲν λεληθότως διὰ τούτου τὴν εὐπορίαν δείκνυσι τὴν ἑαυτοῦ. οὐ γὰρ ἂν, εἰ μὴ πάνυ ἦν πλούσιος, ἐπεδικάσατο ἂν αὐτοῦ ἡ γυνὴ, καὶ τῇ δόξῃ αὐχοῦσα τοῦ γένους καὶ τῇ ἐν ἄστει διατριβῇ. δόξαν γὰρ εἰώθασιν οἱ ἄνδρες ἔχειν οὐχ ἧττω τῶν γυναικῶν. ὁ δὲ τῇ ἀντιπαραθέσει καὶ τοῦτο ἐπιστώσατο, φήσας αὐτὸν ἀγροῖκον εἶναι, τὴν δὲ γυναῖκα πολιτικήν. θαυμαστὸν γὰρ οὐδὲν, εἰ ἄνθρωπον ἰδιοπράγμονα καὶ μέτριον τοὺς τρόπους τῇ ἐπὶ τῆς ἀγροικίας διαίτῃ γύναιον ὑπέταξε πολιτικὸν καὶ κατεδουλώσατο.]

48. σεμνὴν : Νῦν οὐ τὴν σώφρονα, οὐ γὰρ ἐπαινεῖ αὐτὴν, ἀλλὰ τὴν ἀλαζόνα καὶ ὑπέρογκον [καὶ σοβαρὰν τῷ εἴδει· τρυφῶσαν δὲ ἱματίοις, καὶ τῇ ἄλλῃ δαπάνῃ. — σοβαρὰν τὸ ἦθος. Θ. *Br.*]

ἐγκεκοισυρωμένην : Περισσῶς κεκοσμημένην. (ἢ ἔθνος ἡ Κοισυρόπολις ὀνομάζεται, πάνυ αἰσχρὸν καὶ μυσαρόν. ἢ τὰ τῆς Κοισύρας φρονοῦσαν.) ἔστι δὲ Ἐρετριακὸν τὸ ὄνομα. οὗτοι δὲ εἰς τρυφὴν διαβάλλονται. αὕτη δὲ ἐγαμήθη Πεισιστράτῳ ἐπιχειρήσαντι τυραννεῖν. — περισσῶς κεκοσμημένην, κεκαλλωπισμένην, ὁμοίως τῇ Κοισύρᾳ. αὕτη δὲ ἦν γυνή τις πάνυ ἑαυτὴν κοσμοῦσα ἱματίοις καὶ τῇ ἄλλῃ διαίτῃ, ὡς τοὺς ὁρῶντας ἐκπλήττεσθαι. Br.

50. πρὸς τὰ αὐτοῦ πλεονεκτήματα ἴσα καὶ τὰ τῆς γυναικὸς ἀντέθηκεν. εἰπὼν γὰρ τριῶν αὐτὸν ὀδωδέναι, τρυγὸς, τουτέστιν οἴνου, τρασιᾶς, τουτέστι σύκων, ἐρίων, τρία καὶ τὰ ἐκείνης ἐπήγαγε. (διελεγκτικὸν δὲ τὸ τοιοῦτον σχῆμα τοῦ λόγου. τῇ γὰρ ἀντιπαραθέσει τοῦ ἥττονος ἡ εὐτέλεια δείκνυται. τὸ δὲ ἐρίων περιουσίας ἀντὶ τοῦ πόκων πλήθους εἴτ' οὖν πλούτου.) τρασιὰ δὲ λέγεται τόπος ἐν ᾧ ψύχεται τὰ σῦκα. V. R. [ὄζων τρυγὸς : Νέου οἴνου· ἢ τῆς ὑποστάθμης. τρασιὰ δὲ λέγεται ὁ τόπος ἢ ὅπου ψύχεται τὰ σῦκα καὶ ταριχεύεται, ἢ σανίς. τρία δὲ εἶπε τὰ αὐτοῦ· τρυγὸς, τρασιᾶς (ἀντὶ τοῦ σύκων) καὶ ἐρίων περιουσίας. καὶ τὰ ἐκείνης δέ. ἐλεγκτικὸν δὲ τὸ τοιοῦτον σχῆμα.]

τρασιᾶς : Ξύλου, ἐν ᾧ τὰς ὀπώρας ἐξήραινον. *Br*. σανίδος, ἐν ᾗ τὰ σῦκα ταριχεύουσι πρὸς τὸν ἥλιον. ἀπὸ τούτου δὲ τὴν ὀσμὴν δηλοῖ τὴν ἐκ τῶν σύκων καὶ τῶν λοιπῶν τῶν τοιούτων γινομένην. Θ.

ἐρίων περιουσίας : Ἀντὶ τοῦ, πλούτου. [τοιοῦτος δὲ ὁ γεωργικὸς βίος. ἀπὸ δὲ τοῦ καθόλου ἐπὶ τὰ κατὰ μέρος ἦλθε. καθόλου γὰρ ἐν τοῖς ἐπάνω εἰπὼν τὴν εὐδαιμονίαν τὴν ἑαυτοῦ

βρύων μελίτταις, καὶ προβάτοις, καὶ στεμφύλοις,

πάλιν καταμερίζει αὐτά. ἀπὸ μὲν γὰρ τῶν προβάτων τὰ ἔρια, ἀπὸ δὲ τῶν στεμφύλων τρὺξ καὶ οἶνος, ἀπὸ δὲ τρασιᾶς τὰ σῦκα.]

51. καταγλωττισμάτων : Εἶδος φιλημάτων περιεργότερον τὸ καταγλώττισμα· ἢ κολακευμάτων. [ἢ εἶδος αἰσχροῦ φιλήματος τὸ καταγλώττισμα. κυρίως δὲ καταγλώττισμα, ὅταν ἐν τῷ καιρῷ τῆς συνουσίας ὁ ἀνὴρ τὴν γλῶτταν αὐτοῦ τῷ τῆς γυναικὸς ἐμβάλλῃ στόματι. [ἐστὶ δὲ καὶ ὁ λαφυγμὸς κατὰ μέν τινας τὸ αὐτό· κατὰ δέ τινας ἡ ἄλογος καὶ καθ' ὑπερβολὴν δαπάνη. Br.] ἔστι γὰρ λάπτω καὶ λαφύσσω τὸ ῥοφῶ κυρίως ἐπὶ κυνῶν καὶ χοίρων. ὅθεν παράγεται καὶ ὁ λαφυγμός. εἰκότως δὲ ταῦτα καταλέγει, δεικνὺς ὅτι αἱ εὐγενεῖς γυναῖκες ὑπὸ τῆς ἄγαν τρυφῆς τοιαῦτα πράττουσιν.]

52. λαφυγμοῦ : Τῆς περὶ τὰ ἐδέσματα πολυτελείας· τουτέστιν ἀσωτίας. λαφυγμὸν γὰρ λέγει τὸ ἀπλήστως ἐσθίειν. [Εὔπολις ἐν Κόλαξι

λαφύσσεται λαφυγμὸν ἀνδρεῖον πάνυ.

Ὅμηρος [Iliad. Λ, 176; Ρ, 64]

ἔγκατα πάντα λαφύσσει.]

Κωλιάδος : [Οἱ μὲν Κωλιάδα τὴν θεὸν καλοῦσιν, ἀπὸ νεανίου Ἀττικοῦ ἀποδράντος ἀπὸ λῃστῶν συμμαχίᾳ τῆς θεοῦ καὶ οὕτως αὐτὴν ὀνομάσαντος, καθάπερ αὐτὸς δεθεὶς τῶν κώλων ἀπελύθη ὑπὸ γυναικὸς, οἱ δὲ, θυγατρὸς τοῦ ἀρχιλῃστοῦ δι' ἔρωτα. οἱ δὲ, τόπον ἐοικότα κώλοις ἀνδρὸς, ἔνθα ἡ θεὸς τιμᾶται. ἔνιοι δὲ, Ἴωνος θύοντος, κόρακα ἁρπάσαι κωλῆν, καὶ ἐν ἐκείνῳ τῷ τόπῳ ἀποθέσθαι· ὅθεν οὕτως ὠνομάσθη. Ἄλλως. Κωλιὰς ναός ἐστιν Ἀφροδίτης, οὕτω καλούμενος ἀπό τινος νεανίσκου Ἀττικοῦ, ἁλόντος ὑπὸ Τυρρηνῶν καὶ δεθέντος τὰ κῶλα· εἶτα ἐρασθείσης αὐτοῦ τῆς θυγατρὸς τοῦ Τυρρηνοῦ καὶ λυσάσης, ἐπανελθὼν εἰς Ἀθήνας, χαριστήριον τῇ Ἀφροδίτῃ ναὸν ἱδρύσατο Κωλιάδος, διὰ τὸ τὰ κῶλα λελύσθαι.] Κωλιὰς ναός ἐστι τῆς Ἀφροδίτης, οὕτω καλούμενος ἀπὸ τοῦ συμβεβηκότος τὴν προσηγορίαν λαβών. νεανίας γάρ τις Ἀττικὸς ἁλοὺς ὑπὸ Τυρρηνῶν καὶ δεσμώτης δουλεύων παρ' αὐτοῖς, ἐρασθείσης αὐτοῦ τῆς θυγατρὸς τοῦ ἔχοντος καὶ ἀπολυσάσης, ἦλθεν εἰς τὴν οἰκείαν καὶ οὕτως ἐλευθερωθεὶς εὐχαριστήριον τῇ Ἀφροδίτῃ ἐπὶ τῆς ἀκτῆς ἐφ' ἧσπερ ἡρπάγη ναὸν ἱδρύσατο. Κωλιάδα δὲ προσηγόρευσε τὸν τόπον ἀπὸ τῶν κώλων, ἃ ἐν τοῖς δεσμοῖς κατεπονεῖτο. [ἡ δὲ Γενετυλλὶς δαίμων περὶ τὴν Ἀφροδίτην τῆς γενέσεως ἔφορος. ] R. V.

Γενετυλλίδος : [Γενετυλλὶς ἡ τῆς γενέσεως ἔφορος Ἀφροδίτη.] οἱ μὲν τῶν περὶ τὴν Ἀφροδίτην ἀξιοῦσι θεῶν μίαν εἶναι διὰ τὸ γενέσεως αὐτὴν εἶναι τοῖς ἀνθρώποις αἰτίαν προϊσταμένην τῶν γάμων καὶ τῶν ἐπὶ τοῖς γά-

μοις μυστηρίων, ὅθεν καὶ παρὰ Ῥωμαίοις Βένερις γενετρίκις ἐν τοῖς φόροις ἐστίν. ὅθεν καὶ ἐν δευτέραις Θεσμοφοριαζούσαις [imo Lysistratæ initio.] Ἀριστοφάνης μέμνηται τοῦτο, οὕτω που λέγων « ἀλλ' εἴ τις εἰς βακ- « χεῖον αὐτὰς ἐκάλεσεν ἢ εἰς Πανὸς ἢ ἐπὶ Κωλιάδος « Γενετυλλίδος. » V.

53. οὐ μὴν ἐρῶ γ', ὡς ἀργὸς, ἀλλ' ἐσπάθα : [Πρὸς τὸ ἀργὸς, ἐσπάθα· καὶ τοῦτο εἰρωνευόμενος· περὶ γυναικὸς δὲ λέγει· ἀντὶ τοῦ] κατανήλισκε καὶ κατήσθιε· (διὰ τοῦτο εἶπεν οὐκ ἀργὸς ἦν). σπαθᾶν δὲ τὸ ἀφειδῶς ἀναλίσκειν καὶ παρὰ τοῖς ῥήτορσιν εἴρηται πολλάκις· οἰκείως δὲ νῦν τῇ λέξει ἐχρήσατο ἐπὶ γυναικός. καὶ γὰρ ἐπὶ τῶν ὑφαινομένων [ἱματίων] λέγομεν σπαθᾶν, τὸ ἄγαν κρούειν τὴν κρόκην, (ὥστε προκαθίζειν καὶ πολλὴν μὲν ἀναλίσκειν κρόκην, ἰσχυροτέραν δὲ ἀπεργάζεσθαι τὴν ὑφήν. δύναται μὲν οὖν τὸ σπαθᾶν ἐπ' ἀμφοτέρων νοεῖσθαι. ὅτι δὲ νῦν ἐπὶ τῶν πολλὰ δαπανώντων παρείληπται, δῆλον ἐκ τοῦ ἐπιφερομένου,

ἐγὼ δ' ἂν αὐτῇ θοἰμάτιον δεικνὺς τοδὶ,
πρόφασιν ἔφασκον, ὦ γύναι, λίαν σπαθᾷς.

τοῦτο δὲ ἐπήνεγκε διττὸν ὂν, τό τε ἀναλοῦν καὶ τὸ ὑφαίνειν.)

55. [λίαν σπαθᾷς : Ἐργάζῃ. εἰρωνικῶς καὶ τοῦτο. δεικνὺς γὰρ αὐτῇ τὸ ἱμάτιον παραρραγὲν ἔλεγε τοῦτο αὐτῇ.]

57. πότην ἧπτες : [Πότης, Ἀττικῶς ὁ ταχέως ἀναλίσκων λύχνος. πότης λύχνος παρ' Ἀττικοῖς ὁ πολὺ ἔλαιον ἀναλίσκων.]

58. καλεῖ τὸν παῖδα πλησίον ἐλθεῖν τῆς κλίνης ἐφ' ἧς ἀνέκειτο, τύψειν αὐτὸν ἀπειλῶν. R.V . θρυαλλίδων δὲ τῶν ἐλλυχνίων. V.

59. θρυαλλίδων : Ἀπὸ τοῦ θρύου τὸ παλαιὸν τὰ ἐλλύχνια. [τὰ γὰρ παχέα ἐλλύχνια πολὺ ἔλαιον δαπανῶσι. — ἐνέβαλες θρυαλλίδα παχεῖαν. Θ.]

60. μετὰ ταῦθ' ὅπως : Μετὰ τὸ ἐπιτιμῆσαι τῷ οἰκέτῃ ἐπὶ τὸ διήγημα ἀνατρέχει πάλιν τοῦ γάμου. (οὐ μὴν συναπτέον πάντα τὸν στίχον, ἀλλ' ἀναγνωστέον μέχρι τοῦ υἱός. εἶτα διαστήσαντα χρὴ μεθ' ὑποκρίσεως ἐπάγειν, οὑτοσὶ, ὡς ἀχθομένου αὐτοῦ τῇ γενέσει.) — μετὰ τὸ λαβεῖν τὴν γυναῖκα. ὅπως : Ἐπεί. Θ.

61. τἠγαθῇ : Καὶ τοῦτο εἰρωνευόμενος λέγει. οὐ γὰρ ἀγαθὴν αὐτὴν παρίστησι. — κατ' εἰρωνείαν. Θ.

62. [ἐλοιδορούμεθα : Ἐστασιάζομεν, ὥστε ὑπὸ τῆς φιλονεικίας καὶ εἰς λοιδορίαν ἐκτραπῆναι.] ὑβριζόμεθα ὑπ' ἀλλήλων. Θ.

63. συνετίθει τὸ ὄνομα ἐξ ἵππου. R.

64. Ξάνθιππον : Ὁ Ξάνθιππος Περικλέους ἦν πατὴρ, ὃς ἦν τοῦ τῶν Ἀλκμαιωνιδῶν γένους. ἐσεμνύνετο δὲ τὸ γύναιον θείῳ Μεγακλεῖ τῷ νικήσαντι τρὶς Ὀλύμπια καὶ δι' ἱπποτροφίαν κατελθόντι ἐκ τῆς φυγῆς. [ἐδίωξε γὰρ αὐτὸν ὁ Πεισίστρατος, ὃν καὶ μετεπέμψατο παραχωρήσαντα αὐτῷ τὸ τῆς νίκης κήρυγμα.] ἐπεὶ καὶ Καλλίας ὁ δᾳδοῦχος ὁ ἐν τῇ ἱερᾷ στολῇ προσελθὼν ἐπὶ τὴν μάχην εἰς Μαραθῶνα καὶ ἀριστεύσας κατὰ τῶν βαρβάρων τρὶς Ὀλύμπια νικήσας ἅρματι τὸν υἱὸν ἐκάλεσεν Ἱππόνικον. (λέγεται δὲ τοῦτον πλουτῆσαι μάλιστα, αἰχμαλώτου τινὸς ἐν τῇ μάχῃ τῶν βαρβάρων προσελθόντος αὐτῷ καὶ μηνύσαντος θησαυρὸν ἐπὶ μισθῷ· ὃν καὶ αὐτὸν ὕστερον ἀπέκτεινεν ὁ Καλλίας.) Ξάνθιππος μὲν οὖν ἐγένετο Περικλέους πατήρ. οὐδὲν δὲ νῦν πρὸς αὐτὸν ἐπικοινωνεῖ τὸ λεγόμενον, (πλὴν εἰ μὴ ἄρα διὰ Κοισύραν, ἣν ἔφαμεν δούλην οὖσαν μητέρα γενέσθαι τοῦ Μεγακλέους, τὸ ὄνομα τὸ Ξανθίππου παρείληφε. παρῴδηται δὲ τὸ Περικλέους, Μεγακλέους, ὡς ἂν δυνάμενον ἀμφότερα δηλοῦν. δριμέα γὰρ καὶ ἀστεῖα τὰ τῆς κωμῳδίας σκώμματα.)

66. τέως : Μέχρι τινός. τῷ χρόνῳ, μόλις. *Br.* ἐκρινόμεθ' : ἐφιλονεικούμεθα. R. ἐπὶ πολὺν μὲν οὖν χρόνον διεφερόμεθα, ἐμαχόμεθα, διημφισβητοῦμεν. V.

67. κοινῇ ξυνέβημεν : Ἀντὶ τοῦ ὡμονοήσαμεν καὶ ἀμφοτέροις συνέδοξε. τοῦτο δὲ διότι ἀφ' ἑκατέρων τῶν γενῶν τῷ ὀνόματι ἐπετέθη μέρος.

68. ἐκορίζετο : Ἐκολάκευεν, [οἷα τοῖς παιδίοις συμβαίνει τοῖς μικροῖς]. — προσηνῶς καὶ κολακευτικῶς. R.

70. ξύστιδ' ἔχων : [Ξύστιδα προπαροξύνουσιν. ἤγουν πορφυρίδα. καὶ γὰρ μέχρι νῦν οἱ εἰσελαύνοντες ἀθληταὶ τοιούτῳ κοσμηθέντες σχήματι καὶ ἅρματος ἐπιβάντες διὰ μέσης πομπεύουσι τῆς πόλεως, ᾧ καὶ οἱ βασιλεῖς χρῶνται. Ἄλλως.] ξύστις λέγεται τὸ κροκωτὸν ἱμάτιον, ὃ οἱ ἡνίοχοι μέχρι τοῦ νῦν φοροῦσι πομπεύοντες. χρῶνται δὲ αὐτῷ καὶ οἱ τραγικοὶ βασιλεῖς. — ξυστὶς εἶδος ἱματίου πορφυροῦ. ἄλλοι δέ φασι τὸ ἰδιωτικῶς λεγόμενον σωσάνιον καὶ σῶζον τοὺς ἄνδρας. Br.

71. ἐκ τοῦ Φελλέως : Τόπος τῆς Ἀττικῆς ἐπιτήδειος εἰς βόσιν αἰγῶν, τραχύς. R. τόπος τῆς Ἀττικῆς οὕτω καλούμενος τραχύς. αἱ δὲ αἶγες ὡς τραχύτερα διώκοντες καὶ ὀρεινότερα εἰς τὸν τόπον ἐκεῖνον τὰ πλεῖστα διάγουσιν. ἡ δὲ διφθέρα ἐστὶ ποιμενικὸν περιβόλαιον ἐκ δέρματος πεποιημένον. V. [τόπος τῆς Ἀττικῆς οὕτω καλούμενος. ἐκ τούτου δὲ φελλεάτας λέγουσι Δωριεῖς τοὺς κισσηρώδεις λίθους. αἱ δὲ αἶγες πρὸς τὰ τραχύτερα διώκουσι.]

72. διφθέραν ἐνημμένος : Ἀντὶ τοῦ ἐνδεδυμένος. ποιμενικὸν δὲ περιβόλαιον ἡ διφθέρα. [Ἀττικοὶ δὲ λέγουσιν ἣν νῦν ἰσάλην καλοῦμεν. ἔστι δὲ ἐκ δέρματος. — γοῦνναν. Θ.]

74. ἀλλ' ἵππερόν μου κατέχεε : Ἔπαιξε παρὰ τὸν ἴκτερον. (νόσημα δὲ ὁ ἴκτερος, ὃς περιχεῖται ταῖς ὄψεσι τῶν νοσούντων. [διὸ καὶ τὸ κατέχεε κατὰ λόγον ἐπήγαγεν.] οὕτω δὲ καὶ τοῖς χρήμασιν αὐτοῦ ἐπιβεβλῆσθαί φησιν ἵππερον, οἷον ἱππικὸν ἔρωτα ἢ νόσον ἱππικὴν, διὰ τὸ πολλὰ δεδαπανηκέναι περὶ τὴν ἱπποτροφίαν χρήματα.) — ἱππικὸν ἔρωτα, ἀφανισμόν. *Br.*

[τῶν χρημάτων : Εὕρηται τοῦτο, καὶ ῥημάτων· ὅπερ οὕτως εἴποις· ἀλλὰ κατέχεε τῶν ῥημάτων ἐμοῦ ἱππικὸν ἔρωτα· τουτέστιν, ἐμοῦ ὡς οὐδὲν δεῖ δαπανᾶν ἀφειδῶς λέγοντος, λῆρον ἡγησάμενος τοὺς λόγους, ἀντετίθη αὐ-

οἷς, ὡς ἐραστής ἐστιν ἵππων, καὶ οὐδέποτε τούτου ἂν ἀποσταίη.]

80. Φειδιππίδιον : Τὸ ὑποκορίζεσθαι φιλούντων [ἔθος. κολακεύει δὲ νῦν τὸν υἱὸν καὶ προσποιεῖται φιλεῖν, ἵνα ἑτοιμότερον αὐτὸν πρὸς τὴν ἀξίωσιν ἑαυτοῦ πείθεσθαι παρασκευάσῃ.]

81. ἐπὶ πίστει καὶ συνθήκαις διδόναι τὰς δεξιὰς ἀλλήλων εἰώθασιν. ὑπὲρ οὖν τοῦ πεισθῆναι τὸν νεανίαν ὁ πρεσβύτης ταύτην ἀξιοῖ παρ᾽ αὐτοῦ πίστιν λαβεῖν. καὶ Εὐριπίδης ἐν Μηδείᾳ [20]

Μήδεια δ᾽ ἡ δύστηνος ἠτιμασμένη
βοᾷ μὲν ὅρκους ἀνακαλεῖ δὲ δεξιᾶς
πίστιν. V.

[κύσον με καὶ τὴν χεῖρα δός : Πρὸς τὸ Ὁμηρικὸν [Il. Z, 233]

χεῖράς τ᾽ ἀλλήλων λαβέτην καὶ πιστώσαντο.

φίλησον καὶ πρόσπτυξαι καὶ τὴν χεῖρα δὸς τὴν δεξιάν. ἔθος δ᾽ ἐπὶ πίστει καὶ συνθήκαις βεβαίαις τὰς δεξιὰς διδόναι ἀλλήλοις. — ἔθος ἦν τοῖς παλαιοῖς τὰς δεξιὰς διδόναι ἀλλήλοις εἰς βεβαίωσιν τῶν συνθηκῶν. καὶ Ὅμηρος « χεῖράς τ᾽.... πιστώσαντο. » Br.]

82. [ἰδοὺ τί ἐστιν : Τὸ αἰτηθὲν παρὰ τοῦ πρεσβύτου ποιῶν ὁ νεανίσκος τὴν δεξιὰν ὤρεξεν αὐτῷ. καὶ δῆλον ὅτι παρεπιγραφὴ τὸ ἰδού.]

(83). νὴ τὸν Ποσειδῶ τουτονί : [Ἅρμα δείξας ὄμνυσιν ἢ ἄλλο τι ἡνιοχικόν, ἢ πολεμικὸν σκεῦος.] κυρίως νῦν ὁ νεανίσκος ὄμνυσι τὸν Ποσειδῶνα, θεὸν ἱππικὸν ὄντα, ἅτε καὶ αὐτὸς περὶ ἵππους ἐσπουδακώς. τουτονὶ δὲ οὐ τῷ κοινῷ τῶν ἀνθρώπων ἔθει χρώμενον αὐτὸν δεῖ νομίζειν λέγειν (εἰώθαμεν γὰρ οἱ ὀμνύντες λέγειν, μὰ τοῦτον τὸν θεόν, μὰ τοῦτον τὸν Ἀσκληπιόν), ἀλλ᾽ ἔνδον ἀφίδρυμα ἔχοντα Ποσειδῶνος. διὰ τοῦτο καὶ ὁ πρεσβύτης τῷ ὅρκῳ ἀκολούθως ἄχθεται. — ἢ οὖν ἅρμα δείκνυσιν αὐτῷ παρακείμενον ἢ ἄλλο τι ἀφίδρυμα Ποσειδῶνος καὶ κατὰ τούτου ὄμνυσιν. V.

84. [μή μοί γε : Μὴ εἴπῃς μοι, φησί, τὸν ἵππιον. οὐ γὰρ ἀνέχομαι τὸ τῶν ἵππων ἀκούειν ὄνομα, δι᾽ οὓς ἀπολωλέκειν τὰ χρήματα.]

88. ἔκστρεψον : Ἀντὶ τοῦ μετάβαλε. ἀπὸ μεταφορᾶς τῶν ῥυπουμένων ἱματίων καὶ ἐκστρεφομένων. ἐκστρέψαι γὰρ ἱμάτιον λέγεται τὸ ἀλλάξαι τὸ πρὸς τὸ σῶμα μέρος ἔξω. ἄλλαξον οὖν, φησί, τοὺς τρόπους σου καὶ μετάβαλε. — ὡς ἁρματηλάτου δὲ τὸ ὡς τάχιστα. V.

[ὡς τάχιστα : Μεταφορικῶς. τὸ γὰρ ὡς τάχιστα κυρίως ἐπὶ ἁρματηλάτου. ταχινὰ γὰρ τὰ ἅρματα.]

91. νὴ τὸν Διόνυσον : Ἐπεὶ ἐκώλυσεν αὐτὸν κατὰ τοῦ Ποσειδῶνος ὀμόσαι, εἰκότως μετέβαλεν εἰς τὸν Διόνυσον τὸν ὅρκον. — τὸ δὲ δεῦρο οὐκ ἔστι τοπικόν, ἀλλ᾽ ἀντὶ τοῦ ἐλθέ. R. V.

92. καὶ τῳκίδιον : Τὸ οἰκίδιον ὑποκοριστικῶς. (σμικρύνει δέ, καὶ τοῖς ὀνόμασιν αὐτοῖς τὸ εὐτελὲς εἰς πάντα τῆς φιλοσοφίας δεικνύς. τὸ δὲ δεῦρο νῦν οὐ τοπικόν, ἀλλ᾽ ἀντὶ τοῦ ἐλθέ.) ἤγαγε δὲ δῆθεν αὐτὸν ἐπὶ τὴν Σωκράτους οἰκίαν.

94. ψυχῶν σοφῶν : (Ἤγουν) ἀνδρῶν φιλοσόφων. [τοῦτο δὲ ἐπ᾽ ἀμφοτέρων δύναται νοεῖσθαι. ἔστι γὰρ ἀμφίβολον καὶ ἄδηλον πότερον τὰς ψυχὰς αὐτὰς λέγει σοφάς, ἢ τοὺς ἄνδρας σοφούς. ταῖς δὲ ψυχαῖς ἐκείνων ἔνεστι τὸ φροντιστήριον. ἐὰν μὲν γὰρ

ψυχῶν σοφῶν τοῦτ᾽ ἐστὶ φροντιστήριον,

ἐνδέχεται τὸ αὐτὰς εἶναι τὰς ψυχὰς σοφάς, ἐὰν δὲ ψυχῶν, σοφῶν, ἀνδρῶν λέγει. δύναται δὲ καὶ σκώπτειν διὰ τούτου τὸν περὶ ψυχῆς Σωκράτους λόγον καὶ ἀσαφῶς ἐπίτηδες εἰρηκέναι, ἐπεὶ καὶ Σωκράτης ὁριζόμενος περὶ ψυχῆς, ἀσαφῶς ἔδοξε λέγειν, καὶ ὥς τινες νομίζουσιν, ἀπεναντίας αὐτῷ, τὴν ἰδίαν ἀσθένειαν κατηγορίαν Σωκράτους ποιούμενοι. ἃ δὲ περὶ ψυχῆς ὥρισε, ταῦτα Plat. Phædr. p. 245, c] « ψυχὴ πᾶσα ἀθάνατος. τὸ γὰρ ἀεικίνητον, ἀθάνατον. τὸ δ᾽ ἄλλο κινοῦν, ἢ ὑπὸ ἄλλου κινούμενον, παῦλαν ἔχον κινήσεως, παῦλαν ἔχει καὶ ζωῆς. »]

φροντιστήριον : [Οἱονεί, βουλευτήριον.] ἡ σύνοδός τις καὶ θᾶκος σοφῶν. θᾶκος δὲ καλεῖται Ἀττικῶς τόπος ἔνθα πολλοὶ συνέρχονται σκεψόμενοι. φρονισταὶ δὲ ἐκαλοῦντο οἱ περὶ τὸν Σωκράτη, διὰ τὸ φροντίζειν περὶ ἀλλήλων καὶ διὰ τὸ μηδέποτε παύεσθαι τῆς φροντίδος.

95. ἐπειδὴ περὶ τῶν οὐρανίων διαλέγονται οἱ φιλόσοφοι. R.

96. ὡς ἔστι πνιγεύς : Οὕτως ὁ κρίβανος κυρίως ὅπου οἱ ἄνθρακες συμπνίγονται. διὸ ἐπιλέγει, ἡμεῖς δ᾽ ἄνθρακες. λέγει δὲ τὸν φοῦρνον. R. [πνιγεὺς ἡ τῶν ἀνθράκων κάμινος. διὸ ἐπιλέγει, ἡμεῖς δ᾽ ἄνθρακες· διὰ τὸ ὑπὸ ἡλίου θερμαίνεσθαι.] (κυρίως πνιγεύς, ἔνθα οἱ ἄνθρακες ἔχονται καὶ πνίγονται. ταῦτα δὲ πρότερος Κρατῖνος ἐν Πανόπταις δράματι περὶ Ἵππωνος τοῦ φιλοσόφου κωμῳδῶν αὐτὸν λέγει· ἀφ᾽ οὗ στοχαζόμενοί τινές φασιν ὅτι μηδεμιᾶς ἔχθρας χάριν Ἀριστοφάνης ἧκεν ἐπὶ τὴν τῶν Νεφελῶν ποίησιν, ὅς γε μήτε ἴδιόν τι μήτε ἁρμόττον, ἀλλὰ μηδὲ πρὸς ἓν ἔγκλημα ἦλθε Σωκράτους. δύο γὰρ κατ᾽ αὐτοῦ ταῦτα προθεὶς ἐγκλήματα, τὸ περὶ τοῦ οὐρανοῦ, ὅτι ἐστὶ πνιγεύς, καὶ ὡς ἱκανός ἐστι τὸν ἥττω λόγον διδάσκειν καὶ τὸν κρείττονα, τὸ μὲν κοινὸν τῶν φιλοσόφων ἁπάντων ἐπήγαγεν ἔγκλημα, τὸ δὲ οὐδὲ τὸ σύνολον ἐπικοινωνεῖ φιλοσοφίᾳ. οὐ γὰρ τοῦτο ἐπαγγέλλονται οἱ φιλόσοφοι, δεινοὺς ποιήσειν λέγειν· ἴδιον δὲ τὸ τοιοῦτο μᾶλλον ῥητορικῆς· ὡς ἐπ᾽ ἀμφοτέροις τὸν φιλόσοφον καθαρεύειν.) [οἱ δ᾽ ὅτι ὁλόκληρον εἰς αὐτὸν συνέταξε δρᾶμα, ὃ δι᾽ ἔχθραν νομίζουσιν αὐτὸν πεποιηκέναι, οὐκ ὀρθῶς οἴονται. πρῶτον μὲν γὰρ Δίφιλος εἰς Βοΐδαν τὸν φιλόσοφον ὁλόκληρον συνέταξε ποίημα, δι᾽ οὗ καὶ εἰς δουλείαν ἐρυπαίνετο ὁ φιλόσοφος. οὐ διὰ τοῦτο δὲ ἐχθρὸς ἦν. ἔπειτα Εὔπολις, εἰ καὶ δι᾽ ὀλίγων ἐμνήσθη Σωκράτους, μᾶλλον ἢ Ἀριστοφάνης ἐν ὅλαις ταῖς Νεφέλαις αὐτοῦ καθήψατο. οὐδὲν δὲ χεῖρον ὑπομνησθῆναι τῶν Εὐπόλιδος « δεξάμενος δὲ Σωκράτης τὴν ἐπίδειξιν Στησιχόρου οἰνο-

« χόην ἔκλεψεν. » οἷον δ' ἦν ὁρᾷν τὸν φιλόσοφον τὸ ἐν φανερῷ μάλιστα σκεῦος κατακείμενον κλέπτοντα καὶ ὑφαιρούμενον. — πνιγεὺς : Κάμινος. *Br.*]

(98.) οὗτοι διδάσκουσιν, ἀργύριον ἤν τις διδῷ : Καὶ τοῦτο ψεῦδος, διαβολῆς χάριν. οὐδεὶς γὰρ μισθὸν ἐτέλει Σωκράτει, ἐπεὶ κἀκεῖνος ἔφασκε μηδὲν εἰδέναι. διόπερ καὶ ὑπὸ τοῦ Πυθίου σοφὸς ἐκρίθη. τοῦτο γὰρ αὐτοῦ πρῶτον ἔκρινεν σοφοῦ εἶναι, τὸ γνωρίσαι ὅτι μηδὲν οἶδε. πῶς οὖν ἂν μισθὸν ἐπράττετο παρὰ τῶν συνόντων ὁ περὶ αὑτοῦ βεβαιούμενος ὅτι οὐδὲν οἶδεν;)

101. ἀποφεύγει εἰπεῖν τὸ ὄνομα διὰ τὸ ἐπαχθές. R.

102. ἀλαζόνας : Ἰδίως τοὺς ψεύστας ἐκάλουν. εἰκότως δὲ καὶ τοὺς φιλοσόφους ἀλαζόνας καλεῖ, ἐπεὶ λέγειν ἐπαγγέλλονται περὶ ὧν οὐκ ἴσασιν. ἢ ὅτι σεμνὰ ἔχοντες ἤθη ἀλαζόνες δοκοῦσιν. ὠχριῶντες δὲ καὶ ἀνυπόδητοι, ἐπεὶ μόνης ἀρετῆς φροντίζοντες καὶ οὐ τρυφῆς, διώκουσι τὸ ἀπέριττον. πόνηροι δὲ ἀντὶ τοῦ ἐπίπονοι, ἄθλιοι. — τὸ αἰβοῖ σχετλιαστικόν ἐστι. R. V.

104. [καὶ Χαιρεφῶν : Ἑταῖρος Σωκράτους ὁ Χαιρεφῶν, ὃς ἐκαλεῖτο καὶ νυκτερὶς διὰ τὸ μέλας εἶναι καὶ ἰσχνόφωνος.]

105. συγκατατίθεται καὶ ὁ πρεσβύτης ὡς εἰδότος αὐτοὺς τοῦ νεανίσκου καὶ ἀληθῆ περὶ αὐτῶν εἰρηκότος. φησὶν οὖν τούτους αὐτούς. R. V. (μηδὲν εἴπῃς νήπιον : Μηδὲν εὔηθες, μηδὲ μειρακιῶδες, μηδ' ἀνόητον εἴπῃς. ἀντὶ τοῦ μὴ ὡς τὰ νήπια παιδία ἀνόητα εἴπῃς.) — νήπιον : Μωρόν. *Br.*

106. ἀλλ' εἴ τι κήδει : Ἀντὶ τοῦ φροντίζεις. ἀλφίτων δὲ ἀντὶ τοῦ χρημάτων, ὡς ἄγροικος, τουτέστι τῆς πατρῴας οὐσίας.

107. τούτων γενοῦ μοι : λείπει τὸ εἷς ἀριθμητικὸν ὄνομα, εἷς τούτων γενοῦ μοι, τούτοις μαθήτευσον. σχασάμενος : καταπαύσας τῆς ἱππικῆς ἀπὸ μεταφορᾶς τῶν ἐρεσσόντων. R. (καταλύσας, παυσάμενος τὴν ἱππικὴν, ἢ ἀποσυγχωρήσας καὶ ἀποστὰς τοῦ παρόντος ἐπιτηδεύματος. τὸ δὲ σχασάμενος ἀπὸ μεταφορᾶς εἴληπται τῶν ἐρεσσόντων· σχάσαι γὰρ δεῖ καὶ ὥσπερ διαστεῖλαι καὶ διασχίσαι τὸ ὕδωρ τὴν κώπην ἐρέσσουσαν. καὶ Πίνδαρος [Pyth. 10, 79] « κώπαν ἤδη μοι σχάσαις. » καὶ Εὐριπίδης (Phœn. 457) « σχάσον δὲ δεινὸν ὄμμα. » Ἄλλως. στήσας, καταπαύσας. σχάσαι γὰρ τὸ κωπηλατοῦντα στῆσαι τὴν κώπην.) — σχασάμενος : Ἀφείς. *Br.*

[108]. οὐκ ἂν μὰ τὸν Διόνυσον : Εὐλόγως τὸν Διόνυσον ὄμνυσι. τούτῳ γὰρ ἐπετελεῖτο τὰ Διονύσια, οἷς ἠγωνίζοντο οἵ τε τῆς τραγῳδίας καὶ οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταί.

109. τοὺς φασιανοὺς : [Οἱ μὲν ἵππους, οἱ δὲ ὄρνεα. ἔνιοι δ' ἵππους χάραγμα ἔχοντας φασιανοῦ, ὡς ἀλεκτρυόνος. καὶ εἴπερ ἐστὶ τοῦτο μὴ κατεψευσμένον, οἰκεῖον ἂν εἴη τῇ τοῦ νεανίσκου σπουδῇ. οἱ δὲ περὶ Ἀρίσταρχον ὀρνίθων γένος. οἱ δὲ ὅτι Φᾶσις ποταμός ἐστι Σκυθίας, ὅπου καλοὶ ἵπποι γίνονται. Λεωγόρας δὲ τρυφερός τις, ὁ Ἀνδοκίδου πατήρ. Πλάτων Περιαλγεῖ

ὦ θεῖε Μόρυχε, νῦν γὰρ εὐδαίμων ἔφυς,
καὶ Γλαυκέτης, ἡ ψῆττα, καὶ Λεωγόρας,
οἳ ζῆτε τερπνῶς, οὐδὲν ἐνθυμούμενοι.

Εὔπολις ἐν Αὐτολύκῳ β' ὡς καὶ διὰ Μυρρίναν ἑταίραν τὰ χρήματα ἀποβέβληκέ φησιν. φασιανοὶ δὲ οἱ ἔχοντες τοῦ μηροῦ ἐγκεχαραγμένον φασιανόν. Λεωγόρας δὲ ὄνομα κύριον ἑνὸς τῶν Ἀθήνησι πολιτευσαμένων τότε. πατὴρ δὲ οὗτος ἦν Ἀνδοκίδου τοῦ ῥήτορος. ἄδηλον δὲ, εἰ καὶ ὄρνεα ἔτρεφεν ὁ Λεωγόρας. μέμνηται δὲ αὐτοῦ ὡς ἱπποτρόφου.] οὐκ εἰσὶν ἵπποι φασιανοὶ, ἀλεκτρυόνες μέντοι. ἵπποι δέ τινες εἰσὶν ἀλεκτρυόνας κεχαραγμένοι. τούτους οὖν λέγει. Λεωγόρας δὲ ὄνομα κύριον ἑνὸς τῶν Ἀθήνησι πολιτευσαμένων τότε. πατὴρ δὲ οὗτος ἦν Ἀνδοκίδου τοῦ ῥήτορος. ἄδηλον δὲ εἰ καὶ ὄρνεα ἔτρεφεν ὁ Λεωγόρας. ἔστι δὲ ὄνομα τῶν ἱπποτροφησάντων Ἀθήνησιν. V. Φᾶσις ποταμὸς Σκυθίας, ὅπου καλοὶ ἵπποι γίνονται. Λεωγόρα δὲ ὡς ἱπποτρόφου μέμνηται. οἱ δὲ περὶ Ἀρίσταρχον ὀρνίθων τι γένος λέγουσι τοὺς φασιανούς. ἢ φασιανοὶ λέγονται οἱ ἔχοντες τῷ μηρῷ φασιανὸν ἐγκεχαραγμένον ἵπποι. R.

(110). ἴθ', ἀντιβολῶ : Πορεύου. νῦν δὲ, πείσθητί μοι. [τὸ δὲ ἀντιβολῶ,] παρακαλῶ, [Ἀττικῶς].

111. [καὶ τί σοι μαθήσομαι : Οὐ γὰρ ἑαυτῷ ἔμελλε μαθεῖν, ἤγουν δι' οἰκεῖον θέλημα ἢ ὠφέλειαν, ἀλλὰ διὰ τὸ τοῦ πατρός. διὸ τὸ σοί λέγει. ἤγουν, τί μαθήσομαι ὑπὲρ σοῦ.]

112. ψεύδεται κἀνταῦθα ὁ κωμικὸς λέγων παρὰ Σωκράτει εἶναι τὸν ἄδικον λόγον. οὐ γὰρ Σωκράτης, ἀλλὰ Πρωταγόρας ὁ Ἀβδηρίτης ἐφεῦρε αὐτὸν καὶ ἐδίδασκεν. Cant. 3.

ἄμφω τὼ λόγω : Δυϊκῶς ἔκλινε. φησὶ δὲ τοὺς περὶ Σωκράτην ἱκανοὺς εἶναι ἀμφοτέρους τοὺς λόγους ἐκπαιδεύειν.

114. τὸν ἕτερον τοῖν λόγοιν : Τὸν δίκαιον τὸν νικῶντα. ὡς ἀγνοῶν δὲ τὰ δίκαια εἶπε τὸν ἕτερον. ἐβούλετο γὰρ ἀδικίαν μανθάνειν.

(120). τοὺς ἱππέας τὸ χρῶμα : Οὐ γὰρ ἂν ὑπομείναιμι ὁραθῆναι ὑπὸ τῶν ἱππέων [ὠχρὸς καὶ διεφθαρμένος. ἐκόμων γὰρ οἱ ἱππεῖς, οἱ δὲ φιλόσοφοι κάτω κείρονται]. διακεκναισμένος δὲ ἀντὶ τοῦ ἠμαυρωμένος. εἰ γενοίμην, φησὶν, ὠχρὸς ὡς οἱ περὶ τὸν Σωκράτην, [καὶ ἀνυπόδητος καὶ ῥυπῶν]. οἱ γὰρ ἱππεῖς εὔχροοι καὶ ὑποδεδεμένοι καὶ ἐν γυμνασίοις ἐξεταζόμενοι καὶ ἐν παλαίστραις. καὶ ἐν τοῖς Ἱππεῦσι [580] φησὶ

μὴ φθονεῖθ' ὑμῖν κομῶσι μηδ' ἀπεστλεγγισμένοις,

τουτέστι λιπῶσι. τοῦτο οὖν καὶ νῦν ὁ νεανίσκος δεδοικέναι φησὶ, τὸ ἀπέχθεσθαι τοῖς περὶ τὴν ἱππικὴν ἔχουσιν, εἰ καταλιπὼν τὸ κοσμεῖν τὸ σῶμα καὶ μετιέναι τὰ τῶν ἱππέων ἐπιτηδεύματα τὰ τῶν φιλοσόφων μετέλθοι. [ὡς ἱππαζόμενον δὲ καὶ τοῦτον μετὰ τῶν ἱππέων φησὶ τάττεσθαι.] — διακεκναισμένος : διεφθαρμένος, ἠμαυρωμένος, ὠχρὸς ὡς οἱ περὶ τὸν Σωκράτην. R. βεβλαμμένος, ἐφθαρμένος, ὠχρὸς, οἷόν ἐστι τὸ τῶν φιλοσόφων. *Br.*

121. ⟦οὐκ ἄρα μὰ τὴν Δήμητρα : Εἰκότως τὴν Δήμητρα ὄμνυσιν, ἐπεὶ περὶ τροφῶν ὁ λόγος ἐστί. τούτων γὰρ ἡ θεὸς εὑρετίς.⟧ ἔδει : ἀντὶ τοῦ φάγει, θρέψει. R. V.

122. οὐθ' ὁ ζύγιος οὐθ' ὁ σαπφόρας : Ζύγιοι ἵπποι καλοῦνται οἱ ὑποβαλλόμενοι τῷ τοῦ ἅρματος ζυγῷ, τουτέστιν ὁ μέσος δεξιὸς καὶ ὁ μέσος ἀριστερός. ⟦σαπφόραι δὲ οἱ σῖγμα ἔχοντες περὶ τὸν μηρόν. καὶ διὰ τοῦ μ καὶ π γράφεται.⟧ — σαμφόρας ὁ ἔχων εἰς τὸν μηρὸν σ. R.

123. (ἀλλ' ἐξελῶ σ' ἐς κόρακας : Ἀλλ' ἐκβαλῶ σε καὶ ἀποδιώξω ἐκ τῆς οἰκίας τῆς ἐμῆς. τραχύτερον δὲ αὐτῷ διαλέγεται καὶ ἀπηνέστερον, ὅτι τὴν ἐλπίδα τοῦ πείσειν αὐτὸν ἀπώλεσε.)

124. ⟦ἀλλ' οὐ περιόψεταί με : Εἰκὸς γὰρ ἦν καὶ τοῦτον, σεμνυνόμενον ἐπὶ ταῖς τρισὶ νίκαις τοῦ πατρὸς, ἥδεσθαι τὸν νεανίσκον ὁρῶντα μετερχόμενον τὰ προγονικὰ ἐπιτηδεύματα.⟧

125. ἄνιππον : ἵππων ἐστερημένον. σοῦ : τῶν σῶν ἀπειλῶν. R.

(126). ἀλλ' οὐδ' ἐγὼ μέντοι : Ἀλλ' οὐδ' ἐγὼ μέντοι [ἀθυμήσω, διότι μὴ πέπεικα τὸν υἱὸν, οὐδὲ τέλεον ἀφέξομαι τῆς γνώμης τῆς προκειμένης. οἷον, οὐ] παραδώσω ἐμαυτὸν ταῖς λύπαις. — οὐκ ἀθυμήσω. R.

(127). διδάξομαι : Νῦν μὲν παθητικῶς ἀποδεκτέον τὸ διδάξομαι. βούλεται γὰρ λέγειν διδαχθήσομαι. ἔστι δὲ τῶν μέσων· παθητικὸν γὰρ ἔχει τὸν σχηματισμὸν, ἐνέργειαν δὲ δηλοῖ. διδάξομαι δὲ τὸν υἱὸν φιλοσοφεῖν κυριώτερον ἢ διδάξω. διδάξω μὲν γὰρ ὁ διδάσκαλος ἐρεῖ, διδάξομαι δὲ ὁ πατὴρ καὶ πᾶς ὁ παραδιδοὺς ἕτερον μανθάνειν. δύναται οὖν καὶ νῦν εἶναι τὸ αὐτὸ, ἵν' ᾖ νοούμενον διδάξομαι, ἐπεὶ οὐ τὸν υἱὸν, ἐμαυτόν. τοῦ μέτρου οὐκ ἐπιτρέποντος εἰπεῖν διδάξω, ἔφη διδάξομαι αὐτὸς βαδίζων εἰς τὸ φροντιστήριον. [Ἄλλως. ἀντὶ τοῦ, διδασκάλῳ παραδώσω· ἐπεὶ μέσον ὂν τὸ διδάξομαι, πρὸς ἄμφω τὰς ἐνεργείας χωρεῖ.] — διδαχθήσομαι. R.

(129). πῶς οὖν γέρων ὢν : [Ταῦτα καθ' ἑαυτὸν λογίζεται ἐν τῷ ἀπιέναι.] τὸ δὲ βραδὺς νῦν οὐκ ἐπὶ τῆς τοῦ σώματος κινήσεως παρείληφεν, ἀλλὰ τὸ μὴ ἀγχίνουν καὶ νωθὲς τῆς διανοίας δηλοῦν ἐθέλει. — ἀντὶ τοῦ μὴ ἀγχίνους. R.

130. λόγων ἀκριβῶν σκινδαλμοὺς : ⟦Λόγων ἰσχνῶν λεπτολογίας. λεπτὰ γὰρ καὶ ἰσχνὰ τὰ τῶν λόγων ζητήματα. σκινδαλμοὺς δὲ λεπτολογίας· ἀπὸ τῆς σχίσεως τῶν καλάμων.⟧ ἐξήγησις καὶ ἐπεξεργασία τῶν ἀκριβῶν λόγων οἱ σκινδαλμοί. ἰδίως γὰρ σκινδαλμοὺς καλοῦμεν τὰ λεπτότατα τῶν ξύλων καὶ τὰ τῶν καλάμων ξύσματα. τοῦτο δὲ ἐπὶ μὲν τῆς εὐθείας ὀξύνεται, ἐπὶ δὲ τῶν πλαγίων παροξύνεται. — λέγει δὲ τὰς λεπτολογίας. R.

131. πορευτέον. ἀντὶ τοῦ διατρίβω καὶ ἀναδύομαι. R. πορευτέον : ἀναβάλλομαι V. τί ταῦτ' ἔχων στραγγεύομαι : Διὰ τί ταῦτ' ἔχων κατὰ νοῦν, πιέζομαι καὶ συνθλίβομαι; στράγξ δέ ἐστιν, ὁ διὰ λεπτοτάτης ὀπῆς σχολῇ κατιὼν σταλαγμός. Junt. στραγγεύομαι : Ἀναβάλλω, καὶ διατρίβω. βραδύνω. *Br.* ἀργῶν πιέζομαι καὶ συνθλίβομαι. *Vict.*

(132). ἀλλ' οὐχὶ κόπτω τὴν θύραν : [Ἀλλ' οὐκ ἔχομαι τῶν ἐγνωσμένων.] τοῦτο δὲ παρεγκύκλημα. δεῖ γὰρ αὐτὸν ἐλθεῖν καὶ κόψαι τὴν θύραν τοῦ Σωκράτους. παρατηρητέον δὲ ὅτι ἐπὶ μὲν τῶν ἔξωθεν κρουόντων κόπτειν λέγεται, ἐπὶ δὲ τῶν ἔσωθεν ψοφεῖν. [ἱκανῶς δὲ διέστειλε Μένανδρος, ἐπὶ μὲν τῶν ἔξω, « κόψω τὴν θύραν » εἰπὼν, ἐπὶ δὲ τῶν ἔσω « ἐψόφηκε τὴν θύραν ἐξιών. »] — ἀλλ' οὐχὶ κρούω. R.

133. βάλλ' ἐς κόρακας : ⟦Ἄπιθι ἐς κόρακας. ἔστι δὲ παροιμία ἐπὶ κατάρας λεγομένη.⟧ ἀντὶ τοῦ εἰς ἀπώλειαν καὶ φθοράν. Βοιωτοῖς γὰρ ἀναστάτοις ὑπὸ Θρᾳκῶν γενομένοις καὶ περὶ ἀποικίας μαντευομένοις εἶπεν ὁ θεὸς ἐκεῖ κατοικεῖν, ἔνθα ἂν ἴδωσι λευκὸν κόρακα. οἱ δ' ἐν Θετταλίᾳ παρὰ τὸν Παγασητικὸν κόλπον εἶδον περιιπταμένους τοὺς τοῦ Ἀπόλλωνος ἱεροὺς κόρακας, οὓς παῖδες ἀφῆκαν γυψώσαντες ὑπὸ μέθης, καὶ τελεῖσθαι τὸν χρησμὸν φήσαντες ἐνταῦθα κατῴκησαν. οἱ δὲ ἀπὸ τοῦ ζῴου λέγεσθαι τὴν παροιμίαν φασίν. ἐν γὰρ τοῖς ἐρημοτέροις τόποις ἐπιτηρεῖ τὰ πτώματα.

134. Κικυννόθεν : Δῆμος οἱ Κικυννῆς τῆς Ἀκαμαντίδος φυλῆς, [ἔνθα ἄγεται καὶ τὰ Ἀπολλώνια].

135. ⟦ἀμαθής γε νὴ Δία : Ἰδιώτης καὶ ἀπαίδευτος.⟧

136. ἀπεριμερίμνως : Ἀσκόπως, ἀμαθῶς [καὶ ἀπείρως καὶ ἀνεπιστημόνως]. τὸ δὲ λελάκτικας σφοδρότητος καὶ βίας ἐστὶ σημαντικόν. διόπερ καὶ τὴν μέμψιν ἐπήγαγεν, ⟦οὐ τὸ κροῦσαι καὶ τὸ προσελθεῖν αἰτιώμενος· οὐδὲ γὰρ πρὸς φιλοσόφου τὸ τοῖς δεομένοις μὴ παρέχειν τοῦ συνιέναι ἐξουσίαν· τὸν δὲ τρόπον μεμφόμενος, ὅτι βιαιοτέρως ἔπαισε τὴν θύραν, ὡς διαταραχθῆναι τοὺς ἐμφιλοσοφοῦντας.⟧

137. ἐξήμβλωκας : (Ἡμιτελῆ ἐξέβαλες, ἐξέωσας. ἐξαμβλῶσαι δὲ κυρίως ἐπὶ τῶν γυναικῶν λέγεται τῶν ἀποτικτουσῶν θᾶττον, οὐ κατὰ τὸν τῶν ὠδίνων καὶ τῆς κυοφορίας νόμον. καὶ τὸ φάρμακον δὲ τὸ αἴτιον τοῦ ἐξαμβλοῦν τὰς γυναῖκας ἀμβλώθριον καλεῖται.) ἰδίως δὲ νῦν ἐπὶ φιλοσόφων τὴν φροντίδα· ἐπεὶ καὶ μεριμνοφροντιστὰς ἐκάλουν αὐτοὺς, ὡς προεῖπεν. (τοῦ δὲ Σωκράτους λέγοντος, ὅτι τέχνην ἔχω τὴν μαιευτικὴν, καὶ διὰ ταύτης ποιῶ τοὺς νέους ἀποτίκτειν τὰ νοήματα ἐν τῇ ἑαυτῶν ψυχῇ, τοῦτο νῦν κωμῳδεῖ Ἀριστοφάνης διὰ τοῦ ἐξήμβλωκας.) — ἀτελῆ ἐποίησας. R. ἡμιτελῆ ἐποίησας διαφθείρας. *Br., Vict.* ἐξευρημένην : Ἐπινενοημένην. R. V.

138. τηλοῦ γὰρ οἰκῶ τῶν ἀγρῶν : ⟦Ἀντὶ τοῦ, ἐν τοῖς ἀγροῖς.⟧ — πρὸς τὸ σχῆμα. οὕτω χρῶνται πόρρωθεν ἐπὶ τῶν ἀγρῶν ὅτι ἀγροῖκός εἰμι. (Ἄλλως. ἀμφίβολον πότερον λέγει πόρρω τῶν ἀγρῶν ἑαυτὸν κατοικεῖν, ἢ ἐν τοῖς μακρὰν καὶ πολὺ τῆς πόλεως ἀπέχουσι. λέλεκται δὲ αὐτὸ παρὰ τὸ Εὐριπίδειον, ὅπερ οὕτως ἔχει,

τηλοῦ γὰρ οἴκων βίοτον ἐξιδρυσάμην.)

139. τὸ πρᾶγμα : Θεώρημα. *Vict.* τὸ παραπολωλὸς καὶ διεφθαρμένον. R. διαφθειρόμενον. V.

140. διὰ τὸ περὶ τῶν οὐρανίων καὶ τῶν ἀδήλων ἀεὶ γίνεσθαι τὴν ζήτησιν αὐτοῖς. R. — ἀλλ' οὐ θέμις πλὴν τοῖς μαθηταῖσι λέγειν : (Ἀλλ' οὐ δυνατόν. δηλονότι ἐπὶ διασυρμῷ καὶ διαβολῇ ταῦτα παρεισάγει λέγοντα τὸν θυρωρόν. ἀλλότριον γὰρ τῶν φιλοσόφων τὸ βασκαίνειν καὶ φθονεῖν, οἷς τὸ κοινωνεῖν περὶ πολλοῦ πάντων ἀφθόνως.) — οὐ πρέπον εἰ μὴ μόνον τοῖς μαθηταῖς. R.

141. οὑτοσὶ : ἑαυτὸν δείκνυσι. R.

144. ἀνήρετ' ἄρτι : Ἐπύθετο, ⟦ἀνηρώτησεν. ἄρτι δέ, ἀντὶ τοῦ ἐξ ὑπογυίου· ἵνα αὐτοσχεδιάζειν δοκῶσι. διαβάλλει δὲ τοὺς φιλοσόφους ὡς εὐτελῆ ζητοῦντας· διὸ καὶ ταῦτα γελοίου χάριν λέγεται, καὶ διὰ γελοίων τὴν Σωκράτους παρίστησιν ἀκρίβειαν.⟧

Χαιρεφῶντα : Τῶν ἄγαν γνωρίμων Σωκράτους ὁ Χαιρεφῶν. (οὐδὲν δὲ αὐτοῦ διασέσωσται τῶν συγγραμμάτων. δοκεῖ δὲ γενέσθαι περίθερμος καὶ σφόδρα ἐχθρεύσας τῷ ἀδελφῷ. καὶ φησὶ Ξενοφῶν [Comm. 2, 3, 18] τὸν Σωκράτην συνάγοντα αὐτοὺς λέγειν ὡς οὐδὲν ὀφθαλμῶν ὄφελος εἴη, εἰ μὴ συμφωνοῖεν, οὐδὲ χειρῶν οὐδὲ ποδῶν.) δήμου δὲ ἦν ὁ Χαιρεφῶν Σφήττιος. τούτῳ καὶ ἡ Πυθία δοκεῖ τὸν περὶ τοῦ Σωκράτους χρησμὸν εἰπεῖν

σοφὸς Σοφοκλῆς, σοφώτερος δ' Εὐριπίδης·
ἀνδρῶν δὲ πάντων Σωκράτης σοφώτατος.

(τοῦτον Ἀπολλώνιος ὁ Μόλων ἐν τῷ κατὰ φιλοσόφων ἐψεῦσθαί φησι. τοὺς γὰρ Πυθικοὺς χρησμοὺς ἑξαμέτρους εἶναι. καὶ ἔστι δὲ παρὰ κωμικῷ τινι·

εἰ συγκεχρῶσθαι τοῖς νεκροῖς δυνήσεται.

ὅτι δὲ καὶ ἄλλοι διὰ τριμέτρων πλείους εἰσὶ χρησμοί, οὐ μὴν ἀλλὰ καὶ πεζῷ λόγῳ λεχθέντες τῇ Πυθίᾳ, δῆλον.) ⟦τὸ μὲν καὶ ἐπ' ἐμοὶ μέχρι καὶ νῦν κεχρηκέναι τὸν Πύθιον οὕτω παρήσω λέγειν, ἀλλὰ τῶν ἀρχαίων παραδείγματος ἕνεκα χεῖρον οὐδὲν μνημονεῦσαι. τοῦτο μὲν γὰρ ἐπί τῳ φέρεται οὗτος ὁ χρησμὸς ἐξενεχθεὶς ὑπὸ τῆς Πυθίας

ἐμοὶ μελήσει ταῦτα καὶ λευκαῖς κόραις·

ἐν Λέσβῳ δὲ ναπαίου Ἀπόλλωνος ὁ δοθεὶς Πέλοπι, αἰτοῦντος αὐτὸν ἀνάθημα τοῦ θεοῦ τὴν ἄρνα τὴν χρυσῆν, ἕτερα παρέχοντι κειμήλια. ἔστι δ' οὕτως,

ὃ βούλομαι δὸς, μὴ δίδου δ' ὃ μὴ θέλω.

φέρει δὲ τὸν χρησμὸν τοῦτον Ἀντικλείδης ἐν τοῖς Νόστοις. καὶ ἑτέρους πλείστους ἄν τις ἔχοι λέγειν τοιούτῳ ἐξενεχθέντας μέτρῳ.⟧

145. ψύλλαν ὁπόσους ἅλλοιτο : Τοιαῦτα καὶ τὰ τῶν φιλοσόφων ζητήματα, ἀπηλλαγμένα τῶν κοινῶν βιωτικῶν ἐννοιῶν. R. διαβάλλει τοὺς φιλοσόφους ὡς εὐτελῆ ζητοῦντας· διὸ καὶ τὰ ἑξῆς γελοίου χάριν. Ἄλλως. V. ψύλλαν μὲν Ἀττικῶς, ὃν νῦν ἡμεῖς ψύλλον καλοῦμεν. τὸ δὲ λεγόμενον τοιοῦτόν ἐστι, τὸ πήδημα τῆς ψύλλης διαμετρῆσαι τοῖς αὐτῆς τῆς ψύλλης ποσίν, ὁπόσους τούτους πηδήσειε. δῆλον δὲ ὅτι διασῦραι βουλόμενος τὰ τῶν φιλοσόφων ζητήματα ὡς ἰσχνὰ καὶ λόγου μηδενὸς ἄξια, ταῦτα καὶ τὰ τοιαῦτα παρεισάγει. ⟦διὸ καὶ τὰ ἑξῆς γελοίου χάριν αὐτῷ λέλεκται.⟧

146. τοῦ Χαιρεφῶντος τὴν ὀφρῦν : (Ἰστέον ὅτι αὐτοπροσώπως εἰσῆγον τοὺς κωμῳδουμένους καὶ) ὅτι γελοίου χάριν παρείληφε τοῦτο. αὐτίκα γοῦν οὐδὲ ἄλλου τινὸς ἐμνήσθη μέρους τοῦ σώματος ἢ τοῦ ἐν ἑκατέρῳ γελοίου. ὁ μὲν γὰρ βαθείας εἶχε τὰς ὀφρῦς ὁ Χαιρεφῶν, ὁ δὲ φαλακρὸς ἦν ὁ Σωκράτης.

150. τὼ πόδε : Δυϊκὸν τὼ πόδε ἐπὶ τῆς ψύλλης ⟦κακῶς⟧. ἱστορεῖται γὰρ ἓξ πόδας ἔχουσα. [ψυγείσῃ δέ, ἀντὶ τοῦ ἀποθανούσῃ.]

151. [Περσικαί : Ἔστι μὲν δένδρα, ἔστι δὲ καὶ ὑποδημάτων εἶδος γυναικείων. διὸ ἐπιφέρει, ὑπολύσας. διὰ δὲ τὸ δένδρον, παίζων τὸ περιέφυσαν εἶπεν.]

152. ταύτας ὑπολύσας : Ἀδύνατον ἀδυνάτῳ ἐπήγαγεν. οὔτε γὰρ ὑποδήματα φορέσαι δύναται ψύλλα οὔτε ἐκ κηροῦ φῦναι αὐτῇ φύσιν ἔχει, οὔτε τῶν τῆς ψύλλης ποδῶν τὸν κηρὸν ἐξελεῖν καὶ διαμετρῆσαι τούτῳ δυνατὸν τὸ διάστημα τοῦ πηδήματος.

156. ⟦Σφήττιος : Ἀπὸ δήμου τῆς Ἀκαμαντίδος φυλῆς.⟧

(157). ὁπότερα τὴν γνώμην : Ἀντὶ τοῦ πῶς διανοεῖται καὶ διαλέγεται περὶ τῶν ἐμπίδων. [τὸ δὲ ὁπότερα, ἀντὶ τοῦ ὁποτέρως. ἐμπίδας δέ, οὓς ἡμεῖς κώνωπας καλοῦμεν· οἱ δέ, εἶδος κώνωπος παραποτάμιον, ζώνην ἔχοντος.] — ἀντὶ τοῦ ὁπότερος. R.

158. κατὰ τὸ στόμ' ᾄδειν : Ἀντὶ τοῦ, διὰ τοῦ στόματος (φθέγγεσθαι καὶ βομβεῖν), ἢ διὰ τοῦ ὀρροπυγίου. (τὰ γὰρ τοιαῦτα τῶν ζώων τροφὴν μὲν λαμβάνει τῷ στόματι, οὐκέτι δὲ αὐτῷ φθέγγεται. καὶ ἔστιν ἀπό τε τῶν τεττίγων τοῦτο καὶ ἀπὸ τῶν ἐγκελάδων ἰδεῖν, οἳ καὶ οὕτω προσηγορεύθησαν, ἐπεὶ ἐν αὐτοῖς τὸν κέλαδον ἔχουσιν. οὗτοι γὰρ καὶ τὰ τοιαῦτα ζῷα πάντα διὰ τοῦ στήθους τὴν φωνὴν προΐεται. εἰ οὖν τούτους λάβοις καὶ σφάξαις, οὔτε ὁ ἐγκέλαδος οὔτε ὁ μουσικὸς καὶ καλὸς τέττιξ ἔτι πρόεισι φωνήν. τῆς αὐτῆς γὰρ καὶ ὁ τέττιξ ἐστὶ φύσεως. καὶ τὰ τοιαῦτα ζῷα καλεῖται μὲν παρά τισι βομβύκια, καλεῖται δὲ καὶ ἔντομα, ὅτι κατὰ τὴν ῥάχιν ἐντέτμηται, ὡς ἔστιν ἰδεῖν ἐπὶ τῶν σφηκῶν καὶ κανθάρων καὶ ἐγκελάδων, καὶ τῶν τεττίγων μάλιστα. δι' ὧν καὶ φθέγγεσθαι τμημάτων ἀξιοῦσιν αὐτά.)

163. κοῖλον, τὸν πρωκτόν, πρὸς στενῷ δὲ τῷ ἐντέρῳ προσκείμενον. R. V.

164. πῶς διανοεῖται τὰς ἐμπίδας πνεῖν. R.

165. σάλπιγξ ὁ πρωκτός : Τοιαύτη γὰρ καὶ ἡ σάλπιγξ, κατὰ μὲν τὸ ἄνω στενή, πρὸς τὰ κάτω δὲ κοίλη. διὸ καὶ ὀξὺ ᾄδει.

166. ⟦τοῦ διεντερεύματος : Τοῦ ἐρωτήματος τοῦ διὰ τοῦ ἐντέρου.⟧

τοῦ εὑρέματος, τοῦ ἐπινοήματος. ἔπαιξε δὲ παρὰ

τὸν ὑπὸ τοῦ Σωκράτους λεχθέντα λόγον περὶ τοῦ τῆς ἐμπίδος ἐντέρου. — τῆς περὶ τοῦ ἐντέρου λεπτολογίας καὶ φυσιολογίας. *Br*.]

167. ἢ ῥᾳδίως : Ἦ ταχέως γε ἂν οὗτος. φεύγων δὲ ἀντὶ τοῦ κατηγορούμενος. R. σφόδρα γε οὗτος ἢ ἄγαν οὗτος. φεύγων δὲ ἀ. τ. κ. V.

169. γνώμην μεγάλην ἀφῃρέθη : (Γνώμης μεγάλης ἐστερήθη) ἐμποδισθεὶς ὑπὸ ἀσκαλαβώτου ὁ Σωκράτης. ἑκατέρως λέγεται, καὶ ἀσκαλαβώτης καὶ γαλεώτης. — σκέμμα. R.

173. ἀπὸ τῆς ὀροφῆς : Καὶ ἀρσενικῶς ὁ ὄροφος, καὶ θηλυκῶς ἡ ὀροφή· ὡς τὸ,

οὐ πρὸς τὸν ὄροφον ἀνατενῶ τὰ Περσικά,

ἐν Λυσιστράτῃ [229]· [καὶ ἐν Σφηξὶν [1215] « ὀροφὴν θέασαι. » — ὄροφος καὶ ὀροφή· ἔστι δὲ κάλαμος, ᾧ στεγάζουσιν. *Vict*.]

175. ἐχθὲς δέ γ᾽ ἡμῖν : Λεληθότως σκώπτει τὸν τῶν φιλοσόφων βίον ὡς ἐπίπονον καὶ ταλαίπωρον. διὰ τοῦτο εἰς αὔξησιν καὶ τῷ καιρῷ συνεχρήσατο, εἴ γε μέχρι τῆς ἑσπέρας ἀναμένοντες φαγεῖν οὐδὲ τότε παρεσκευασμένον οὐδὲν εἶχον.

176. τοῦτο καλεῖται ἀπόθεσις τοῦ λόγου. τὸ δὲ ἐπαλαμήσατο ἀντὶ τοῦ ἐμηχανήσατο καὶ ἐπενόησεν. R. V. ἐπαλαμήσατο : Εἰκότως εἶπε τὸ ἐπαλαμήσατο διὰ τὸ καὶ τοὺς ἄρτους ὑπὸ τῆς παλάμης πλάττεσθαι. *Vict*.

177. λεπτὴν τέφραν : Ἰσχνὴν σποδόν. οὐκ ἀργῶς δὲ τὸ λεπτήν. πρὸς γὰρ τὴν ὁμοίωσιν τῶν ἀλφίτων. [ἰσχνὴν δὲ τέφραν τὴν ἐκ τῶν κεκαυμένων ξύλων κόνιν. οὐ ματαίως δὲ τὸ λεπτήν προσέθηκε πρὸς τὸ ταύτην δεῖξαι παραπλήσιον τοῖς ἀλφίτοις.] — τέφρα δὲ ἡ τῶν κεκαυμένων ξύλων κόνις. R. V.

178. κάμψας : (Καμπύλον ποιήσας καὶ ὥσπερ ἀγκιστροειδῆ. ὀρθοὶ γὰρ οἱ ὀβελίσκοι. καὶ Ὅμηρος [Il. I, 215 et 210 contaminati]

αὐτὰρ ἐπεί ῥ᾽ ὤπτησε καὶ ἀμφ᾽ ὀβελοῖσιν ἔπειρεν.

ἀλλ᾽ ἐπεὶ ἔδεσμα μὲν οὐδὲν ἦν ὡς ὀβελίσκου δεῖσθαι, πρὸς δὲ τὸ ἐπιλαβέσθαι καὶ ἁρπάσαι τι καὶ κατασχεῖν τοῦτο ἦν χρήσιμον, ὀρθὸν ὄντα, φησί, τὸν ὀβελίσκον ἔκαμψεν, ἵνα δι᾽ αὐτοῦ κλέψαι τὸ ἱμάτιον δυνηθῇ. τοιαῦτα γὰρ οἱ κλέπται μηχανῶνται, ἵνα ῥᾳδίως πόρρωθεν ἁρπάσωσιν ὃ βούλονται.) — καμπύλον ποιήσας. διὰ δὲ τοῦ κάμψαι ὀβελίσκον καὶ ἡ κλοπὴ καὶ ἡ ἀφαίρεσις τοῦ ἱματίου ἐγένετο. ἐπειδὴ ὁ ὀβελίσκος ὀρθός ἐστιν, ἔκαμψεν αὐτὸν, ἵνα δι᾽ αὐτοῦ κλέψῃ τὸ ἱμάτιον. R.

εἶτα διαβήτην λαβὼν : Ἐργαλεῖον ὁ διαβήτης πολλαῖς εὔχρηστον τέχναις, τῷ Λ στοιχείῳ παρεοικός. τούτου τὸ ἓν μέρος ἐντιθέντες, τὸ δὲ ἕτερον περιάγοντες κύκλους γράφουσι. [καὶ χαράσσοντες τὸ ὑποκείμενον, τὸ ἴσον τηροῦσι διάστημα τοῦ κύκλου ἐκ τοῦ κέντρου.] — τὸ εἶτα περιττόν. R.

179. (ἐκ τῆς παλαίστρας : Ὅμοιον τοῦτο τῷ ὑπὸ Εὐπόλιδος ῥηθέντι περὶ Σωκράτους

Στησιχόρου πρὸς τὴν λύραν οἰνοχόην ἔκλεψεν.

ἐμφαίνει δὲ διὰ τούτου ὅτι παίδων ἤρα ὁ Σωκράτης. ἐν ταῖς παλαίστραις γὰρ τὰ πολλὰ ἐξητάζετο, ἵνα αὐτοὺς ὁρῴη.)

ὑφείλετο : Τοῦτο παρ᾽ ὑπόνοιαν ἐπήγαγεν. ἔδει γὰρ αὐτὸν εἰπεῖν, μετέβαλεν αὐτὸν εἰς τὰ ἄλφιτα. Ἄλλως. δέον γὰρ αὐτὸν εἰπεῖν, κατέγραψέ τι, ᾧ τέως προσέχοντες οὐκ ἐπεινήσαμεν, καὶ σχήματά τινα ἐπεποιήκει, εἰς ἃ πάντων ἡμῶν ὁ νοῦς καθάπερ κεχηνὼς τροφῆς ἐπελάθετο, ἐπήνεγκεν ὅτι ἀπὸ τῆς παλαίστρας ἔλαβεν ἱμάτιον. διαβάλλει δὲ αὐτὸν ὡς περὶ τὰς παλαίστρας τῶν παίδων ἕνεκεν διατρίβοντα. (ἐκεῖ γὰρ ἐφοίτα ὡς γυμνοὺς τοὺς παῖδας ὁρῴη. Ἄλλως. ἐπειδὴ οἱ τὰ γεωμετρικὰ θεωρήματα διδάσκοντες διαβήταις γράφουσι ταῦτα, φησὶν ὅτι ὀβελίσκον κάμψας, καὶ διαβήτου σχῆμα διαλαβὼν, πάντας πρὸς αὐτὸν ἐπαγόμενος, ὑφεῖλε τὸ ἱμάτιον.)

180. τὸν Θαλῆν : Οὗτος ἐγένετο τῶν ἑπτὰ σοφῶν, Μιλήσιος τὸ γένος, τὰ περὶ τὸν οὐρανὸν πρῶτος ἐξευρών. παρατηρητέον δὲ ὡς ἀπ᾽ εὐθείας τῆς Θαλῆς ὡς Ἑρμῆς (ἔκλινε). διχῶς δὲ τοὔνομα ἐκφωνητέον· βαρυτόνως μὲν Θάλης [ὡς Χρέμης, οὗ ἡ γενικὴ] Θάλητος· ἔτι δὲ καὶ περισπωμένως Θαλῆς ὡς Ἑρμῆς. [μαθητιῶ δὲ ἀντὶ τοῦ, μαθεῖν ἐπιθυμῶ.]

184. ὦ Ἡράκλεις : Πεποίηκε τὸ προσταχθὲν ὁ φιλόσοφος καὶ ἀνέῳξε τὰς θύρας. ὁ δὲ εἰσελθὼν καὶ θεασάμενος αὐτοὺς ὠχροὺς καθημένους τεθαύμακεν ὡς ἀνθρώπων μορφὰς μὴ ἔχοντας μηδὲ ὄψεις διὰ τὴν ὠχρότητα. [ὁρᾷ δὲ ὡς φιλοσόφους κομῶντας, στραφέντος τοῦ ἐγκυκλήματος.]

185. ὁμοιοῦσθαι. R.

186. τοῖς ἐκ Πύλου ληφθεῖσι : Πύλος, χωρίον τῆς Λακωνικῆς, ἔνθα Κλέων στρατηγήσας τοὺς τριακοσίους τούτους αἰχμαλώτους ἀπὸ Σφακτηρίας ἔλαβεν. εἰκὸς οὖν τούτους καὶ διὰ τὸν τοῦ αἰχμαλωτισμοῦ φόβον καὶ διὰ τὸ πολλαῖς μὲν ἡμέραις πεπολιορκῆσθαι ἐν ἐρήμῳ νήσῳ καὶ ἀφ᾽ ἧς οὐδὲν τῶν ἐπιτηδείων ἦν λαβεῖν, πολλῷ δὲ καὶ μετὰ τὴν ἅλωσιν συγκεκλεῖσθαι χρόνῳ δεδεμένους ἐν ξύλῳ, ὠχρούς τε καὶ ἰσχνοὺς καὶ δυσειδεῖς γεγονέναι. ἰστέον δὲ ὅτι τρεῖς ἐπωνυμίας εἶχεν ὁ τόπος, Πύλος, Κορυφάσιον, Σφακτηρία. [Ἄλλως. Πύλος, νῆσος πλησίον Πελοποννήσου. ταύτην ἐν τῷ Πελοποννησιακῷ πολέμῳ Λάχης προκατασχὼν, ὁ τῶν Ἀθηναίων στρατηγὸς, φρούριον ᾠκοδόμησεν. ὅθεν ἐξορμώμενος τὴν παραλίαν ἐδῄου τῆς Λακωνικῆς. Λακεδαιμόνιοι γοῦν καταλῦσαι τὸ φρούριον θέλοντες, ἐπέπλευσαν τῇ νήσῳ καὶ παραστησάμενοι ἄνδρας ἑπτακοσίους ἐντὸς τοῦ φρουρίου κατέλιπον. Ἀθηναῖοι οὖν ἔπεμψαν πολλήν τινα στρατιὰν κατὰ τῶν ἀνδρῶν τούτων μετὰ Κλέωνος στρατηγοῦ. ἐλθὼν οὖν ὁ Κλέων μετὰ τῆς στρατιᾶς καὶ πλεῖστον χρόνον τούτους πολιορκήσας,

ὕστερον παρεστήσατο καὶ αἰχμαλώτους λαβὼν Ἀθήναζε ἤγαγεν, οἳ διά τε τὸν πολὺν λιμόν, ὃν ὑπέστησαν διὰ τῆς πολιορκίας, καὶ διὰ τὸ κατακλεισθῆναι Ἀθήνησιν εἰς εἱρκτήν, πάνυ ὠχροὶ ἦσαν.⟧

187. ⟦ἀτὰρ τί ποτε : Διὰ τί ἄρα. εἰσελθὼν δὲ ἐπὶ συννοίᾳ κατέλαβε τοὺς περὶ Σωκράτην καθημένους; ἅτε φροντίζοντας περὶ τῆς ἐμπίδος καὶ συγκεκυφότας εἰς γῆν.⟧ εἰσελθὼν γὰρ εὗρε περὶ τὸν Σωκράτην κάτω νεύοντας ἐπὶ συννοίας. R.

188. ⟦βολβοὺς : Τὰ λεγόμενα ὕδνα, ἅτινα τὴν γῆν σκάπτοντες εὑρίσκουσιν οἱ ἄνθρωποι.⟧

190. (ἐγὼ γὰρ οἶδ' : Ὡς ἀγροῖκος ταῦτα φησὶν ὅτι ἀκριβέστερον οἶδα τῶν περὶ τὸν Σωκράτην, ποῦ εἰσὶν οἱ βολβοί.)

191. ⟦οἱ σφόδρ' ἐγκεκυφότες : Τοιαῦτα γὰρ τὰ τῶν ἄγαν φροντιζόντων καὶ περὶ τὴν διάνοιαν ἐχόντων σχήματα. Ὅμηρος [Il. Γ, 217]

στάσκεν, ὑπαὶ δὲ ἴδεσκε κατὰ χθονός, ὄμματα πήξας.⟧

ἐγκεκυφότες : Κύπτοντες κατὰ γῆς. *Vict.*

192. ἐρεβοδιφῶσιν : Τὰ ὑπὸ τὴν γῆν ζητοῦσι καὶ καταμανθάνουσι. R. V. ⟦τὰ ὑπὸ ἔρεβος διφῶσι. τουτέστι τὰ ὑπὸ γῆν ζητοῦσι. — ἐρευνῶσιν, ἐξετάζουσι. Τάρταρος δὲ ἐστὶν ὁ ὑπὸ γῆν κατώτατος τόπος. Junt.⟧

193. τί δῆθ' ὁ πρωκτὸς : Ἴσως ἐγγύθεν τοῦτο εἴληφεν ἀπὸ τῆς ἐμπίδος. ἐπεὶ κἀκείνην διὰ τοῦ πρωκτοῦ ᾄδειν ἔφη, διὰ τοῦτο καὶ τούτους διὰ τοῦ πρωκτοῦ ἀστρονομεῖν (διδάσκεσθαι) λέγει. ⟦ἀνάγκη γὰρ συγκεκυφότων αὐτῶν καὶ εἰς γῆν ὁρώντων ἄνω τὸν πρωκτὸν βλέπειν.⟧

195. ἀλλ' εἴσιθ', ἵνα μὴ 'κεῖνος : ⟦Κατὰ τὸ σιωπώμενον, ἄλλων ἐξεληλυθότων ἐκ τοῦ φροντιστηρίου,⟧ τοῖς φιλοσόφοις λέγει εἴσιτε εἴσω ὁ μαθητής, ἵνα μὴ ἐξελθὼν ὁ Σωκράτης εὕρῃ ὑμᾶς ἐνταῦθα διατρίβοντας. (τὸ δ' ἐκεῖνος κατ' ἐξοχήν. Ἄλλως. τὸ ἐκεῖνος καὶ τὸ αὐτός ἀντὶ ὀνόματος παραλαμβάνεται. καὶ Ὅμηρος [Il. Ω, 90] τὴν Θέτιν που παρεισάγει λέγουσαν

τίπτε μ' ἐκεῖνος ἄνωγε μέγας θεός.)

⟦καὶ παρὰ Πυθαγορείοις τὸ αὐτὸς ἔφα, τουτέστιν ὁ Πυθαγόρας. καὶ ἐν τοῖς ἑξῆς αὐτός, ἤγουν ὁ Σωκράτης.⟧

199. ἔξω διατρίβειν : Εἰ γὰρ θεάσεται αὐτοὺς ἔξω, δυσχερανεῖ τὰ μέγιστα Σωκράτης. *Vict.*

200. ⟦πρὸς τῶν θεῶν, τί ταῦτα : Εἰσελθὼν ὁ πρεσβύτης ὁρᾷ τὰ τῶν φιλοσόφων σκεύη, ἄβακα, ἢ σφαῖραν, ἢ χωρογραφίαν, καὶ ἐρωτᾷ τί ἐστι.⟧

201. Ἀστρονομία : σφαῖραν δείκνυσι. *R. Br.*

(τουτὶ δὲ τί : Διαγράμματά τινα καὶ πίνακας δείκνυσι καὶ ἀστρονομικοὺς καὶ γεωμετρικούς.)

(203). πότερα τὴν κληρουχικήν : Ὡς ἄγροικος ταῦτά φησι. [τὴν ἰδιωτικήν, τὴν ὑπὸ κλήρου δεδομένην, τὴν τελοῦσαν.] ἐπεὶ οἱ Ἀθηναῖοι λαμβάνοντες πόλιν πολεμίαν καὶ τοὺς ἐνοικοῦντας ἐκβάλλοντες, πολίτας ἑαυτῶν ἀποστέλλοντες τὴν γῆν αὐτοῖς διένεμον. [ἢ κληρουχικὴν ἐνταῦθα λέγει τὴν γεωργικήν. κληροῦχοι γὰρ οἱ γεωργοί, διὰ τὸ τοὺς Αἰγυπτίους κλήρῳ μερίζειν τὴν αὐτῶν γεωργίαν.]

205. τὸ γὰρ σόφισμα δημοτικὸν : Δημωφελές. οἷον, τὸ γὰρ σόφισμα ἤτοι μάθημα συμφέρον τῷ δήμῳ. V. ⟦οἴεται τῶν πρὸς γεωργίαν εἶναι τοῦτο ἀβάκιον· ἢ τοιοῦτόν τι δημωφελές. μάθημα τῷ δήμῳ συμφέρον.⟧

207. αἵδε μὲν Ἀθῆναι : ⟦Χωρογραφίαν δείκνυσιν αὐτῷ. τινὲς ἔνθεν ἕως τοῦ, οἱ 'μοὶ δημόται, τοῦ γέροντός φασιν. ἔνιοι δὲ διαιροῦσι. καὶ κατ' ἐρώτησιν δὲ εἶναι τὸ τοῦ φιλοσόφου, καὶ ἐν ἀποφάσει δύναται. τὸ δὲ ἑξῆς, ὡς τοῦτ' ἀληθές,⟧ ἐν ἐρωτήσει, ὡς τοῦτό σοι δοκεῖ Ἀττικὸν χωρίον, ἐν ᾧ καθήμενοι δικάζουσιν;

208. ⟦ἐπεὶ δικαστὰς οὐχ ὁρῶ : Κατηγορεῖ Ἀθηναίων ἐνταῦθα ὡς περὶ τὰ δικαστήρια μόνα ἠσχολημένων καὶ τοῦ στρατεύειν ἀμελούντων. τοῦτο δὲ καὶ Δημοσθένης ἔστιν ὅτε ποιεῖ.⟧

212. [παρατέταται μακρά : Διὰ γὰρ τὸ σχῆμα, λέγω δὴ τὸ ἐπίμηκες τῆς θέσεως, Μάκρις ἐκλήθη.]

ἡδὶ : Αὕτη. ἤγουν ἰδού. Junt.

213. ὑπὸ γὰρ ὑμῶν παρετάθη : [Εἰς φόρον ἐξετάθη, πλείονα φόρον παρέχουσα. δηλοῖ δὲ καὶ τὸ ἡπλῶσθαι. ἐκληρούχησαν δὲ αὐτὴν Ἀθηναῖοι, κρατήσαντες αὐτῆς.] (πρὸς τὸν χρόνον ἀπήντησε καὶ τὸ μῆκος τοῦ πολέμου, τὸ σχῆμα τῆς θέσεως δεικνύντος αὐτῷ τοῦ φιλοσόφου. ἐπολιόρκησαν δὲ αὐτὴν Ἀθηναῖοι μετὰ Περικλέους, καὶ μάλιστα Χαλκιδέας καὶ Ἐρετριέας. πρὸς τὸ παρατέταται, ἐν ᾧ ἡ θέσις δηλοῦται, καὶ αὐτὸς ἐπήνεγκε τὸ παρετάθη. τοῦτο λέγει, ὅτι προσέκειντο Ἀθηναίοις. τὸ δὲ παρετάθη ἴσον τῷ ἐξετρυχώθη καὶ κατεπονήθη. Περικλέους δὲ στρατηγοῦντος καταστρέψασθαι αὐτοὺς πᾶσάν φησι Φιλόχορος· καὶ τὴν μὲν ἄλλην ἐπὶ ὁμολογίᾳ κατασταθῆναι, Ἑστιαιέων δὲ ἀποικισθέντων αὐτοὺς τὴν χώραν ἔχειν.) ⟦Περικλῆς γὰρ αὐτὴν ὑπὸ τοὺς Ἀθηναίους ἐποίησεν, ἐν πολέμῳ νικήσας τοὺς Ἄβαντας. διὸ παρετάθη τοῖς φόροις καὶ ἐπεφορτίσθη· ὡς τῶν Ἀθηναίων ἐπιτεινάντων τοὺς φόρους αὐτῇ. Ἄλλως. τοῦτό φησιν ὁ Στρεψιάδης, οὐ νοήσας τὸ παρὰ τοῦ μαθητοῦ λεγόμενον τό, παρατέταται μακρὰ πόρρω πάνυ, ὅ τι νοεῖ. ὁ μὲν γὰρ τοῦτο εἴρηκεν, ὅτι μακρὰ καὶ ἐπιμήκης ἡ Εὔβοια, ὁ δὲ ἐπὶ αὐξήσεως τοῦτο φόρων ἐξέλαβε. παραστησάμενος γὰρ Περικλῆς τὴν Εὔβοιαν, ἐξέτεινε τοὺς αὐτῆς φόρους ἐπὶ πολύ. τοῦτο ἔδοξε τῷ Στρεψιάδῃ νοεῖν τό, παρατέταται μακρὰ πόρρω πάνυ. καὶ διὰ τοῦτό φησιν, οἶδα· ὑπὸ γὰρ ἡμῶν καὶ Περικλέους παρετάθη.⟧ παρετάθη : Ηὐξήθη τοῖς φόροις. *Vict.*

215. ἐγγὺς ἡμῶν : Διὰ τὸ ἐν ταῖς χωρογραφίαις σύνεγγυς πάντα εἶναι, ἐπεὶ οὐκ ἂν τις εἴποι αὐτὰς ἀστυγείτονας.

⟦μέγα : Ἀντὶ τοῦ μεγάλως.⟧

φροντίζετε : Μεταβουλεύεσθε.

216. ἀπαγαγεῖν : Ἀποστῆσαι. *Vict.*

217. οἰμώξεσθ' ἄρα : Συνεχῶς ὑπ' αὐτῶν ληϊζόμενοι. *Br.*

218. φέρε τίς γὰρ οὗτος οὑπὶ τῆς κρεμάθρας : (Ἀντὶ

τοῦ ὑπόθου. Ἀττικὴ δὲ ἡ σύνταξις. κατὰ δὲ τὴν διάνοιαν, ἧς προτάσσεται, σημαίνει πλείονα τὸ φέρε. νῦν μὲν οὖν τὸ ἄγε δηλοῖ, ἐν ἄλλοις δὲ ἄλλο τι σημαίνει, ὡς παρὰ Δημοσθένει [p. 98] « φέρε εἰ δίκας ἀπαιτήσειαν οἱ Ἕλληνες ὧν νῦν παρείκατε καιρῶν. » ἐνταῦθα γὰρ βούλεται λέγειν, ὅτι ὑπερεθέμεθα. Ἄλλως.) παρεγκύκλημα. δεῖ γὰρ κρεμᾶσθαι τὸν Σωκράτην ἐπὶ κρεμάθρας καθήμενον καὶ τοῦτον εἰσελθόντα καὶ θεασάμενον αὐτὸν οὕτω πυθέσθαι. κρεμάθρα δὲ λέγεται, διὰ τὸ οὕτως αὐτὴν ἀεὶ μετέωρον εἶναι κρεμαμένην. νῦν μέντοι τὰ περιττεύοντα (ὄψα) εἰς αὐτὴν εἰώθαμεν ἀποτίθεσθαι. γελοίου δὲ χάριν ἐν τῷ τοιούτῳ παρήγαγεν αὐτὸν σχήματι.

219. αὐτός : Τιμῶν τὸν διδάσκαλον οὐκ εἶπε τὸ ὄνομα.

220. μέγα : Ἀντὶ τοῦ μεγάλως. V. ἀναβόησον : Τῷ μαθητῇ λέγει ὁ Στρεψιάδης τοῦτο. οἷον, οὐκ ἤκουσεν ἐμοῦ, αὐτὸς σὺ βόησον μέγα.

223. ὦ Σωκρατίδιον : Ἀπὸ τοῦ ὑποκοριστικοῦ διαβάλλει αὐτόν. R. V. (τί με καλεῖς, ὦ 'φήμερε : Ἀντὶ τοῦ ὦ θνητὲ καὶ ἐφήμερα φρονῶν. ἐφήμερον δὲ αὐτὸν καλεῖ ὡς αὐτὸς λοιπὸν τὰ τῶν θεῶν φρονῶν καὶ ὑπερηφανῶν τὰ τῶν ἀνθρώπων. Ἄλλως. ὦ ἄνθρωπε. ἐλέγετο δὲ ὁ Σωκράτης τὴν ὄψιν Σειληνῷ παρεμφέρειν. σιμός τε γὰρ καὶ φαλακρὸς ἦν. περιέθηκεν οὖν αὐτῷ φωνὴν τὴν τοῦ παρὰ Πινδάρῳ Σειληνοῦ. ὁ γάρ τοι Πίνδαρος [fr. 128] διαλεγόμενον παράγων τὸν Σειληνὸν τῷ Ὀλύμπῳ, τοιούτους αὐτῷ περιέθηκε λόγους « ὦ « τάλας ἐφάμερε, νήπια βάζεις, χρήματά μοι διακομ« πέων. » ἅμα δὲ ὡς ὑπερηφανοῦντος λοιπὸν τοῦ Σωκράτους τὰ ἀνθρώπινα καὶ ἐν θεοῖς ὄντος αὐτοῦ, διότι μετεωρολέσχης ἦν, οὕτω τὸ ἐφήμερον ἐποίησεν αὐτὸν λέγοντα.)

225. ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον : ἀεροβατῶ : Ἐπιβαίνω τῷ ἀέρι. διὰ τοῦτο καὶ μετέωρον αὐτὸν ἐποίησε καθήμενον. τὸ δὲ περιφρονῶ τὸν ἥλιον ἀντὶ τοῦ διανοοῦμαι καὶ περιεργάζομαι τὸν τούτου δρόμον. [[ Ἄλλως. ὅτι περιφρονῶ εἶπε, καὶ οὐ περισκοπῶ· ἵν', ἐπειδὴ τὸ περιφρονῶ διπλοσήμαντόν ἐστι, καὶ ἀντὶ τοῦ περισκοπῶ καὶ ἀντὶ τοῦ ὑπερφρονῶ, ἀμφότερα εἰς τὸν Σωκράτην νοῶνται, ὅτι τε ἀέρα καὶ ἥλιον καὶ νεφέλας καὶ ὅσα τοιαῦτα ἐφρόντιζε καὶ ἐφιλοσόφει καὶ ὅτι αἰθέριον ἑαυτὸν ἡγεῖτο, καὶ ὑπὲρ αὐτὸν μονονοὺ τὸν ἥλιον. ὁ Στρεψιάδης δὲ ἀντὶ τοῦ καταφρονῶ μόνον ἐνόησεν. — περιφρονῶ τὸν ἥλιον : Περιεργάζομαι καὶ περισκοπῶ τὴν τοῦ ἡλίου πορείαν. *Vict.*]]

226. ἔπειτ' ἀπὸ ταρροῦ : (Ἀττικῶς τὰ ἐξ οἰσύων πλέγματα οὕτω καλεῖται. τοὺς γὰρ καλάθους τοὺς γεωργικοὺς ταλάρους καλοῦσι. νῦν δὲ τὴν κρεμάθραν οὕτως ἐκάλεσεν, ἐφ' ἧς Σωκράτης ἐκρέματο. Ἄλλως.) ταρρὸς μετέωρόν τι ἰκρίον, ἐφ' οὗ αἱ ἀλεκτρυονίδες κοιμῶνται. τοιαύτην δή τινα ὑποληπτέον τὴν κρεμάστραν ἐσκευάσθαι. ἀντὶ δὲ τοῦ εἰπεῖν περινοεῖς ὑπερφρονεῖς εἶπεν, ἵνα διαβάλῃ τὸν Σωκράτην ὡς ὑπερφρονοῦντα τῶν θεῶν. — ὑπερφρονεῖς : Καταφρονεῖς. *Vict.*

(227). ἀλλ' οὐκ ἀπὸ τῆς γῆς, εἴπερ : Ἀλλ' οὐκ ἀπὸ τῆς γῆς ἦν δυνατὸν ἄνθρωπον ὄντα διαγνῶναι τὰ θεῖα; — εἴπερ : Εἴπερ ἔξεστι περιφρονεῖν τοὺς θεοὺς δηλονότι. A. εἴπερ : Ἔδει καταφρονῆσαι ἐκείνους. *Vict.*

228. τὰ μετέωρα : Ἐξεῦρον ἀκριβῶς τὰ ὑψηλὰ καὶ μετέωρα πράγματα· περὶ τούτων γὰρ τοῖς φιλοσόφοις τὰ ζητήματα. [[ ἐπὶ τῆς γῆς δηλαδὴ ἐπιβεβηκώς. ]] ψυχρὰ δὲ ἡ αἰτία, ἣν ὁ Σωκράτης λέγει. — ἐπὶ τῆς γῆς τὰ οὐράνια. R.

(230). λεπτὴν καταμίξας εἰς τὸν ὅμοιον ἀέρα : Ἀπολογεῖται πρὸς τὴν ἐρώτησιν τοῦ γέροντος ὁ Σωκράτης, [λέγων τὴν αἰτίαν, δι' ἣν κρεμάμενος, ἀλλ' οὐκ ἀπὸ τῆς γῆς φησι περιθεωρεῖν τὰ μετέωρα πράγματα. ὅμοιον δὲ εἶπε τὸν ἀέρα, ἀντὶ τοῦ ὁμοιολεπτομερῆ.] ψυχρὰν δὲ καὶ ματαίαν αὐτὸν ἐποίησε παρεχόμενον τὴν λύσιν.

232. οὐ γὰρ ἀλλ' ἡ γῆ βίᾳ : Ἀντὶ τοῦ καὶ γάρ, Ἀττικῶς. [[ Καλλίμαχος [fr. 92]

ἀκούσαθ' Ἱππώνακτος. οὐ γὰρ ἀλλ' ἥκω.

ἀντὶ τοῦ, καὶ γὰρ ἥκω. ]]

233. τὴν ἰκμάδα : Τουτέστι τὸ νοητικὸν καὶ γονιμώτατον τῆς ψυχῆς. φασὶ γὰρ οἱ φιλόσοφοι καὶ πρὸς τὴν κρᾶσιν τῶν ἀέρων γίνεσθαι τὸ ὀξύτερον ἢ ἀργότερον ἐπιβάλλειν τοῖς θειοτέροις. [[ διαπαίζει δὲ τὰ τῶν φιλοσόφων ἡ κωμῳδία. λόγος γὰρ παρ' ἐκείνοις, ὡς ὄντως ἐπισπᾶται εἰς ἑαυτὴν τὰς ὑποκειμένας οὐσίας ἡ γῆ. ]]

234. [[ πάσχει : Τὸ δὲ πάσχειν, οὐ μόνον ἐπὶ τῶν πασχόντων τι λέγεται, ἀλλὰ καὶ ἐπὶ τῶν ποιούντων. καὶ γὰρ οἱ ποιοῦντες τρόπον τινὰ καὶ αὐτοὶ πάσχουσι πάθος, αὐτὸ τὸ ποιεῖν. τὰ οὖν κάρδαμα τὴν τῶν παρακειμένων αὐτοῖς βοτανῶν ὑγρότητα εἰς ἑαυτὰ ἕλκοντα, ξηρὰς αὐτὰς καταλείπει. καὶ ἔστι τοῦτο αὐτῶν πάθος. *Junt.* ]]

καὶ τὰ κάρδαμα : Εἶδος λαχάνου ἀγρίου παρὰ Πέρσαις. [[ νῦν δὲ τὴν σφάκον λέγει. ]] καὶ γὰρ ταῦτα τῶν περὶ αὐτὰ φυομένων λαχάνων τὴν δύναμιν ἐπισπᾶται, καὶ πᾶν τὸ ἐν ἐκείνοις ὑγρὸν ἐπισπώμενα αἴτια αὐτοῖς τοῦ ξηραίνεσθαι γίνεται.

236. ἡ φροντὶς ἕλκει : Δέον εἰπεῖν, ἡ γῆ ἕλκει τὰ κάρδαμα, ὁ δὲ ὡς ἄγροικος μὴ νοήσας τὸ εἰρημένον συνέχεε τὴν φράσιν, ὅθεν καὶ ἀσαφὲς ἐποίησε τὸ δηλούμενον. [[ τοῦτο δὲ πρὸς τὴν τοῦ Στρεψιάδου ἀμαθίαν ἐπιτηδείως ὁ ποιητὴς ἐποίησεν ἀδιανόητον. ]]

(239). ἦλθες δὲ κατὰ τί : [Ἐντεῦθεν κατέρχεται κατὰ τὸ σιωπώμενον.] οὐκ ὀκνεῖ τοῦ αὐτοῦ μνημονεύειν Ἀριστοφάνης. καὶ γὰρ τούτου ἡ ἀρχὴ τοῦ ἔπους φθάσαντι αὐτῷ εἴρηται ἐν Εἰρήνῃ [192] τῷ δράματι οὕτως,

ἦλθες δὲ κατὰ τί; τὰ κρέα ταυτί σοι φέρω.

240. ὑπὸ γὰρ τόκων : Ὅτι χρήστας ὁ Ἀριστοφάνης

τοὺς δανειστὰς λέγει. [ ἡ μὲν γὰρ συνήθεια τοὺς χρεωφειλέτας χρήστας λέγει. Ἀθηναῖοι δὲ τοὺς μὲν δανειστὰς χρήστας λέγουσι, τοὺς δὲ ὀφειλέτας χρεωφειλέτας καὶ χρεώστας. Φωκυλίδης ἐν μὲν τοῖς αὐτοῦ ποιήμασι κατὰ τὴν συνήθειαν τοὺς χρεωφειλέτας χρήστας καλεῖ, λέγων οὕτως·

χρήστης κακοῦ ἔμμεναι ἀνδρὸς φεῦγε,
μή σε γ' ἀνιήσειε διδοὺς, παρὰ καιρὸν ἀπαιτέων.

ἐν ἐκείνῳ μέντοι ἀντὶ τοῦ δανειστὴς λαμβάνεται [ v. 78 ],

μηδέποτε χρήστης πικρὸς γένῃ ἀνδρὶ πένητι ].

241. [ τὰ χρήματ' ἐνεχυράζομαι : Τουτέστιν, εἰς ἐνέχυρον ἀφαιροῦμαι τὴν ἐνυπάρχουσαν οὐσίαν, οἷον ἱμάτια καὶ σκεύη καὶ ἄλλα. ]

242. πόθεν δ' ὑπόχρεως σαυτὸν ἔλαθες : (Ὡς ἐπὶ νοσήματός τινος, οὕτω προήγαγε τὸν λόγον. εἰώθαμεν γὰρ ἐν τῇ συνηθείᾳ πυνθανόμενοι τῶν καμνόντων λέγειν, πόθεν συνέβη γενέσθαι τὴν νόσον; διὸ κἀκεῖνός φησι, « νόσος μ' ἐπέτριψεν ἱππική, δεινὴ φαγεῖν. ») ἐκ ποίας αἰτίας ἔλαθες σαυτὸν πολλοῖς ὑποπεσὼν δανείοις;

243. [ νόσος μ' ἐπέτριψεν : Ἔστι γὰρ ὡς ἀληθῶς νόσος καὶ τὸ ἵππους τρέφειν. δαπανηρὸν γὰρ καὶ οὐκ ἔχον τοὺς καρποὺς ἀξίους τοῦ ἀναλώματος. ἐπέτριψε δ', οἷον ἐξέτριψε καὶ κατεδαπάνησε. — ἠφάνισεν. Θ.

δεινὴ φαγεῖν : Καταναλῶσαι δεινή, δαπανηρά. ἅμα δ' ὅτι τὰ δύσπεπτα τῶν σιτίων νόσων πρόξενα γίνεται. ] — πολυδάπανος οὖσα, καταναλῶσαι δεινή. R.

246. [ ὀμοῦμαί σοι : Ἀντὶ τοῦ, ὃν σύνθωμαι μισθόν σοι τελεῖν, ὄμνυμι τοὺς θεοὺς τοῦτόν σοι δοῦναι. τοῦτο δὲ εἶπεν, ἵνα διαβάλλῃ αὐτόν. ]

247. ποίους θεοὺς : Ταῦτα ἴσως αἰνίττεσθαι βούλεται πρὸς τὴν διαβολὴν τὴν Σωκράτους, ἥν τινες διέβαλλον, λέγοντες ὡς ἀσεβεῖ περὶ τὸ θεῖον ὀμνύων τὸν ἀλεκτρυόνα καὶ προσκυνῶν τὴν πλάτανον (καὶ ἄλλα τοιαῦτα, ὡς ἐν τοῖς Ἀπομνημονεύμασι Ξενοφῶν ἱστορεῖ), [ λέγων οὕτως « πολλάκις ἐθαύμασα τίσι ποτὲ λόγοις ἔπεισαν « Ἀθηναίους οἱ γράψαντες Σωκράτη ὡς ἄξιος εἴη θανά- « του τῇ πόλει. » εἶθ' ὑποβὰς ὀλίγον « ἀδικεῖ γάρ, » φησί, « Σωκράτης τοὺς νέους διαφθείρων, καὶ ξένα δαι- « μόνια εἰσάγων. » ἤτοι οὖν ὡς τέλεον ἀναιροῦντος αὐτοῦ θεοὺς τὸν λόγον ἐκδεκτέον, ἢ ὡς πολυπραγμονοῦντος, ποῖον ὀμόσει γένος θεῶν. *** γεγονέναι. πρῶτον μὲν τοὺς κατὰ Ὀφίωνα καὶ Εὐρυνόμην· δεύτερον δὲ τοὺς κατὰ Κρόνον καὶ Ῥέαν, οὕστινας Ὅμηρος [Il. E, 898] Οὐρανίωνας· τρίτον δὲ τοὺς Διὶ τὴν ἀρχὴν καταλύσαντας τὴν ἐκείνων, οὓς Ὀλυμπίους κλήζομεν. ] [Ἄλλως. τοῦτό φησιν, ἐπεὶ ὁ γέρων εἶπεν ἀσυναρτήτως ὅτι μισθόν σοι ὀμνύω καταθήσειν τοὺς θεοὺς, ἅμα ἐπιφέρει τὸ, ποίους ὀμεῖ σὺ θεούς : οὐχ ὡς ἄλλοις αὐτὸς χρώμενος θεοῖς, ἀλλ' ὅτι ὤμοσεν, ὡς νόμισμα καταθήσειν τοὺς θεούς. ]

249. σιδαρέοισιν : Τοῦ νομίσματος σημαίνοντος δύο, ποτὲ μὲν τὸ νόμιμον ἔθος, ποτὲ δὲ τὸ κόμμα τοῦ τετυπωμένου χαλκοῦ, ὁ Στρεψιάδης ἐδέξατο οὐ πρὸς τὸ ὑπὸ τοῦ Σωκράτους ῥηθὲν, ἀλλ' ἔμιξεν ἀμφότερα. ἔδει γὰρ εἰπεῖν, τίσιν ὄμνυτε θεοῖς, ἢ τίνι χρῆσθε νομίσματι. [λεπτοῖς δὲ νομίσμασι φαίνονται κεχρῆσθαι Βυζάντιοι. διὸ καὶ Δωρικῶς εἶπεν. ἔνιοι δὲ κατὰ πολυμάθειαν δωρίζουσιν. Πλάτων Πεισάνδρῳ

χαλεπῶς ἂν οἰκήσαιμεν ἐν Βυζαντίοις
ὅπου σιδαρέοισι χρῶνται.]

Ἄλλως. ἐδόκει γὰρ φαυλότατον εἶναι τὸ νόμισμα τῶν Βυζαντίων ἅτε δὴ σιδηρᾶς ὕλης ὑπαρχούσης. [ἢ ὅτι ἐκεῖ μέταλλον ἦν, ἐν ᾧ ὤμνυον.] —ἀντὶ τοῦ νόμιμον. *V*.

250. (βούλει τὰ θεῖα πράγματ' : Οὐχ ὡς θεοὺς ἡγούμενος τοὺς παρὰ τοῖς ἄλλοις νομιζομένους, τὰ θεῖα λέγει νῦν, ἀλλ' οἷον τὰ ἀξιοθέατα καὶ ὄντως μεγάλα καὶ τίμια.)

251. ἅττ' : Ἅτινα ἐστὶν ἀκριβῶς καὶ ἀληθῶς. νὴ Δι' : λείπει τὸ θέλω. εἴπερ ὄντως ἐστὶν ἐν θεοῖς. *V*.

252. συγγενέσθαι : συνελθεῖν. *V*.

253. δαίμοσιν : Ὡς εἰ ἔλεγε τοῖς καπνοῖς, ἢ ταῖς σκιαῖς, ταῖς ἡμῶν θεαῖς. τὰ γὰρ μηδενὸς ἄξια καπνοὺς καὶ σκιὰς καὶ νεφέλας ὠνόμαζον. (Εὔπολις ἐν Αὐτολύκῳ « καπνοὺς ἀποφαίνει καὶ σκιάς. » ἁρμοττόντως δὲ τῶν φιλοσόφων ἐπιγράφει ταύτας εἶναι θεάς, ἐπεί, ὡς ἔφημεν, περὶ τὰ οὐράνια μάλιστα ἐπτόηνται οἱ φιλόσοφοι.)

254. κάθιζε, ἤγουν ἐπὶ τὴν τῶν φιλοσόφων ἕδραν. V. — σκίμποδα : Τὸν κράβατον σκίμποδα λέγουσιν Ἀττικοί. (οἱ δέ φασι σκιμπόδιον ἰδίως λέγεσθαι τὸ χωλοκραβάτιον. σκιμβάζειν γὰρ τὸ χωλαίνειν παρὰ τοῖς παλαιοῖς. ἢ τὸν σκιμβοὺς ἔχοντα τοὺς πόδας.)

255. (τουτονὶ τοίνυν λαβὲ : Καὶ τοῦτο παρεπιγραφή. καὶ γὰρ τὸν Σωκράτην περιθεῖναι δεῖ τὸν στέφανον αὐτῷ, κἀκεῖνον λαβεῖν.)

(257). [ὥσπερ με τὸν Ἀθάμανθ' : Ἀθάμας ἐκ Νεφέλης δύο παῖδας ἔσχεν, Φρύξον καὶ Ἕλλην. ἀφεὶς οὖν τὴν Νεφέλην θεὰν οὖσαν, θνητῇ γυναικὶ ἐμίγη. ζηλοτυπήσασα οὖν ἡ Νεφέλη ἀπέπτη εἰς οὐρανὸν καὶ τὴν τοῦ ἀνδρὸς χώραν αὐχμῷ ἐκόλαζε. πέπομφεν οὖν θεωροὺς εἰς Ἀπόλλωνα Ἀθάμας ἐρέσθαι περὶ τοῦ αὐχμοῦ. ἡ οὖν τούτου γυνὴ θέλουσα Φρύξον καὶ Ἕλλην ἀπολωλέναι, πέπεικε διὰ δώρων τοὺς θεωροὺς εἰπεῖν Ἀθάμαντι ὡς οὐκ ἂν ἄλλως παύσασθαι τὸν αὐχμὸν ἔχρησεν ἡ Πυθία, εἰ μὴ τοὺς τῆς Νεφέλης θύσαιεν παῖδας. ἀκούσας οὖν Ἀθάμας μεταπέμπεται τοὺς παῖδας ἐκ τῶν ποιμνίων. εἷς οὖν κριὸς ἀνθρωπίνῃ χρησάμενος φωνῇ λέγει Φρύξῳ καὶ Ἕλλῃ τὰ περὶ τῆς σφαγῆς. φευγόντων οὖν τούτων μετὰ τοῦ κριοῦ ἡ μὲν Ἕλλη ἐν τῷ περαιοῦσθαι τὸν ἐν Ἀβύδῳ πορθμὸν ἀπεπνίγη πεσοῦσα ἀπὸ τοῦ κριοῦ· ὅθεν καὶ ἀπ' ἐκείνης Ἑλλήσποντος κέκληται· Φρύξος δὲ ἐποχούμενος τῷ κριῷ εἰς τὴν τῶν Κόλχων γῆν περισώζε-

ται. ἔνθα καὶ τὸν κριὸν, ὃς ὑπὸ τῶν θεῶν χρυσόμαλλος γέγονε, θύει τῷ Ἄρει ἢ τῷ Ἑρμῇ, καὶ κατοικήσας αὐτόθι τοὔνομα καταλέλοιπε τῷ τόπῳ. ἐκ τούτου γὰρ ἡ Φρυγία οὕτως ἐκλήθη. Ἀθάμαντα δὲ ἡ Νεφέλη δίκην αὐτῇ δώσειν διὰ τοὺς παῖδας πεποίηκε· προσαχθεὶς οὖν στεφανηφορῶν ἐν τῷ βωμῷ τοῦ Διὸς σφαγησόμενος ὑπὸ Ἡρακλέους σέσωσται. οὕτω γὰρ Σοφοκλῆς ἐν δράματι πεποίηκε. Ἄλλως. ἐν Ἀθάμαντι Σοφοκλέους ὑπόκειται Ἀθάμας στεφανηφορῶν, ὥσπερ ἱερεῖον, δίκας εἰσπραττόμενος περὶ Φρύξου. Ἄλλως.] τοῦτο πρὸς τὸν ἕτερον Ἀθάμαντα Σοφοκλέους ἀποτεινόμενος λέγει. ὁ γάρ τοι Σοφοκλῆς πεποίηκε τὸν Ἀθάμαντα ἐστεφανωμένον καὶ παρεστῶτα τῷ βωμῷ τοῦ Διὸς ὡς σφαγιασθησόμενον, μέλλοντα δὲ ἀποσφάττεσθαι αὐτὸν, παραγενόμενον Ἡρακλέα καὶ τοῦτον θανάτου ῥυόμενον, [λέγοντα ὡς σώζοιτο ὁ Φρύξος, δι' ὃν ἔμελλεν ἐκεῖνος τεθνήξεσθαι. ἐπεὶ οὖν καὶ ὁ πρεσβύτης ἔστεπται, ὥσπερ παραδείγματι τῷ κατ' ἐκεῖνον χρώμενος, δεδοικέναι φησὶν ἐκείνῳ παραπλήσια.] — ὡς ἄγροικος Ἀθάμαντα εἶπεν ἀντὶ Φρίξου. ἀντὶ τοῦ εἰπεῖν τὸν Φρίξον τὸν Ἀθάμαντα εἶπεν, ὡς ἄγροικος ἀγνοῶν τὰς ἱστορίας· οὐ γὰρ Ἀθάμας [ἐτύθη], ἀλλ' ὁ Φρίξος. *R.*

258. τοὺς τελουμένους : Τοὺς μυουμένους. ἐνδόξοις δὲ μυστηρίοις παραβάλλει τὰ τῶν φιλοσόφων μαθήματα, ἵνα ἔτι μᾶλλον πείθῃ προσέχειν τὸν γέροντα ὡς θειοτέρῳ τῷ πράγματι.

[260]. λέγειν γενήσει τρῖμμα : Ἱκανὸς καὶ δεινὸς ἔσῃ λέγειν. (καὶ Δημοσθένης [p. 269] ἐν τῷ περὶ τοῦ στεφάνου ὡς ἰταμοῦ καὶ ἀναισχύντου ῥήτορος καθαπτόμενος Αἰσχίνου, περίτριμμα ἀγορᾶς αὐτὸν καλεῖ. τρῖμμα δὲ, τετριμμένος ἐν λόγοις. κρόταλον δὲ, εὔγλωττος, εὔστομος. ἡ μεταφορὰ ἐκ τοῦ κροτάλου. ταῦτα δὲ λέγων λίθους συγκρούει ἄνωθεν αὐτοῦ. τρῖμμα οὖν εἶπε διὰ τὸ τρίβεσθαι τοὺς λίθους· κρόταλον δὲ διὰ τὸ κρούεσθαι αὐτόν· παιπάλη δὲ διὰ τὴν τραχύτητα· ἐπεὶ παίπαλα καλοῦμεν τὰ δύσβατα. Ἄλλως.) ταῦτα λέγων ἅμα ὁ Σωκράτης λίθους παρατρίβων πωρίνους καὶ κρούων πρὸς ἀλλήλους, συναγαγὼν τὰ ἀπὸ τούτων θραύσματα βάλλει τὸν πρεσβύτην, καθάπερ τὰ ἱερεῖα ταῖς οὐλαῖς οἱ θύοντες. καὶ διὰ τοῦτο παίζει τοῖς ὀνόμασι. τρῖμμα μὲν τὴν ἀπὸ τούτων ἐκπίπτουσαν λατύπην. καλοῦμεν δὲ καὶ τῶν ἀνθρώπων τοὺς κακεντρεχεῖς καὶ μὴ ἁπλοῦς τρίμματα καὶ περιτρίμματα καὶ πολυκρότους καὶ κρόταλα. ὅθεν καὶ τὸν πρῶτον στίχον Ὀδυσσείας οὕτως ἀξιοῦσι γράφειν τινὲς,

ἄνδρα μοι ἔννεπε Μοῦσα πολύκροτον.

κρόταλον : Ἰδίως ὁ σχιζόμενος κάλαμος καὶ κατασκευαζόμενος ἐπίτηδες, ὥστε ἠχεῖν, εἴ τις αὐτὸν δονοίη ταῖς χερσὶ, καθάπερ κρότον ἀποτελῶν. τρανὸς οὖν ἔσῃ, φησὶ, καὶ τὴν φωνὴν διηρθρωμένος, καθάπερ τὰ κρόταλα. παιπάλη, τραχὺς, δυσκατάληπτος, ἐπεὶ παίπαλα καλοῦμεν τὰ τῶν χωρίων δύσβατα. R. λεπτολόγος. *E.* τρῖμμα : Ἔμπειρος. κρόταλον : Λάλος. *Vict.* εὔγλωττος. *R.* παιπάλη : Λεπτὸς περὶ τὸ λέγειν. *Vict.* ἐντριβὴς καὶ ἔμπειρος. λάλος, ἀκουστὸς, λεπτολόγος, λεπτὸς περὶ τὸ λέγειν. Θ.

261. ἔχ' ἀτρέμας : Μένε ἐφ' ἡσυχίας. βαλλόμενος γὰρ ὁ πρεσβύτης τῇ παιπάλῃ ἀποσείεται. διὸ παρακελεύεται αὐτὸν μένειν. [παιπάλη δὲ κυρίως τὸ λεπτομερὲς τοῦ ἀλεύρου.] — ἀτρέμας : Ἡσύχως. *Vict.*

οὐ ψεύσει γέ με : Συγκατατίθεται περὶ πάντων Σωκράτην ἀληθεύειν ἅπερ ἐπαγγέλλεται· διὸ καὶ τὸ ἑξῆς πάνυ ἀστείως ἐπάγει. R. [τουτέστιν ἀπατήσεις. ὅτι μηδὲν ὧν ἐπαγγέλλεται Σωκράτης ψεύδεται. πληρωθεὶς γὰρ, φησὶ, τούτων, λέγω δὴ τῶν τριμμάτων τῶν λίθων καὶ τῆς λατύπης, ἣν ἔφαμεν παιπάλην καλεῖσθαι, γενήσομαι παιπάλη. Ἄλλως.] τῇ χιόνι παττόμενος, ἐὰν αἱ Νεφέλαι δειχθῶσιν. λέγεται δὲ παιπάλη τὸ λεπτότατον τοῦ ἀλεύρου· ἀφ' οὗ παλύνειν τὸ λευκαίνειν, (ὡς τὸ [Il. K, 7],

πολλὰς δὲ χιὼν ἐπάλυνεν ἀρούρας.)

ἐπεὶ οὖν ἐκεῖνος εἶπε, γενήσῃ τρῖμμα, κρόταλον, παιπάλη· αὐτὸς ἔπαιξε παρὰ τὴν παιπάλην, τουτέστι τὸ ἄλευρον, εἰπὼν καταπαττόμενος. — καταπαττόμενος ὑπὸ σοῦ ταῖς πληγαῖς διὰ τὰ μαθήματα, παιπάλη γενήσομαι. *Br.*

262. καταπαττόμενος : Πληρωθεὶς τούτων. παιπάλη γενήσομαι : Ἤγουν ἀφανισθήσομαι καὶ εἰς οὐδὲν ἔλθω. Θ.

263. εὐφημεῖν χρὴ : [Ἡ συστηματικὴ αὕτη ἀμοιβαία τοῦ ὕμνου εἴσθεσίς ἐστιν ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν ιϛ΄, ὧν τελευταῖος

ἐπακούσατε δεξάμεναι θυσίαν, καὶ τοῖς ἱεροῖσι χαρεῖσαι.

καλεῖται δὲ τὸ μέτρον τοῦτο Ἀριστοφάνειον, ὡς εἴπομεν. τὰ τοιαῦτα δὲ εἴδη καλεῖται ἑτερόστροφα. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. Ἄλλως. εὐφημεῖν χρὴ : Ταῦτα πρὸς τὸν Στρεψιάδην.] παρακελεύεται τὸν πρεσβύτην σιωπᾶν καὶ εὐφημεῖν, ἵνα εὔξηται, ὥστε μηδὲν βλάσφημον εἰπεῖν. — εὐφημεῖν : Βοᾶν μετ' εὐφημίας. *Vict.*

264. [ἀμέτρητ' ἀὴρ : Ἀκατάληπτε καὶ ἀναρίθμητε, τουτέστι μέγιστε. τὸν δὲ ἀέρα προσεύχεται· ἐπεὶ αἱ νεφέλαι τούτου τοῦ μέρους, ὡς τῶν φιλοσόφων λόγος, οἳ τὸ πᾶν ἀέρα βούλονται εἶναι· οἳ καὶ τὴν ἐν ἡμῖν ψυχὴν ἀέρα καὶ πνεῦμα διωρίσαντο εἶναι.] — ἀμέτρητ' ἀὴρ : Ἄπειρε. *Vict.* ἀναρίθμητε. βαστάζεις. *R.*

ὃς ἔχεις : [Ὃς παρείληφας τὴν γῆν ἅπασαν καὶ βαστάζεις.] — καὶ οὗτος δὲ φιλοσόφων λόγος ὅτι οὐκ ἐφέδρασται ἡ γῆ, ἀλλ' ὑπὸ τοῦ ἀέρος πάντοθεν περιέχεται, τὸν μέσον τοῦ παντὸς λαχοῦσα τόπον. R. — δόξα τις τῶν φυσικῶν ἐθρυλεῖτο, ὅτι πλατεῖα οὖσα ἡ γῆ ὀχεῖται ἐν τῷ ἀέρι. — μετέωρον : Κρεμαμένην. *Vict.*

265. λαμπρός τ' αἰθὴρ : Ἰδίως τὸ τῆς ἡμέρας φῶς αἰθὴρ καλεῖται, ἀπὸ τοῦ αἴθειν, ὅ ἐστι πυροῦν. θερμὸς δὲ ὁ ἥλιος καὶ διάπυρος. διόπερ εὐκαίρως ὁ ποιητὴς τῷ ἐπιθέτῳ ἐχρήσατο, αἰθέρα λαμπρὸν εἰπών.

(σεμναί τε θεαὶ : Οὐχ οὕτω λέγει τὰς Νεφέλας σεμνὰς θεὰς ὥσπερ τὰς Ἐρινῦς ἐκτρεπόμενοι πάντες ὀνομαστὶ λέγειν αὐτὰς Εὐμενίδας καὶ σεμνὰς θεὰς προσηγόρευσαν. τὸ γὰρ σιωπηλὸν σεμνὸν λελόγισται.)

βροντησικέραυνοι : [Ἀλλήλαις γὰρ προσερχομένων τῶν νεφελῶν, πῦρ ἐξάπτεται ἐκ τῆς πυκνῆς ἐκτρίψεως.] [οἰκείως κἀνταῦθα τῷ ἐπιθέτῳ τούτῳ κέχρηται. δοκοῦσι γάρ πως αἱ νεφέλαι προδεικνύναι καὶ προσημαίνειν ἡμῖν τούς τε ὄμβρους καὶ τὰς χαλάζας τοῦ οὐρανοῦ, ὅτε βροντᾷ καὶ ἀστράπτει. Ἄλλως. ἐκ τῶν νεφελῶν φασι τὰς ἀστραπὰς καὶ βροντὰς γίνεσθαι, συγκρουομένας βροντᾶν, συντριβομένας ἀστράπτειν.]

266. [ἄρθητε : Φυσικώτερον ἐχρήσατο τούτῳ τῷ λόγῳ, ἄρθητε εἰπὼν, οἱονεὶ ἐπάρθητε. φασὶ γὰρ τὰς νεφέλας εἰς ὕψος αἴρεσθαι κατ' ὀλίγον ἀπὸ τῆς γῆς ἢ τῆς θαλάσσης.

τῷ φροντιστῇ : Δύναται καὶ ἐπὶ τοῦ Σωκράτους καὶ ἐπὶ τοῦ πρεσβύτου νοεῖσθαι. ἐπὶ μὲν τοῦ Σωκράτους, ἵνα ᾖ παρακαλῶν αὐτῷ φανῆναι τὰς Νεφέλας· ἐπὶ δὲ τοῦ γέροντος, ὡς ἤδη συγκαταριθμοῦντος αὐτὸν τοῦ Σωκράτους τῷ τῶν φιλοσόφων συλλόγῳ.]

267. μήπω γε, μήπω γε : (Ἀναδίπλωσις καλεῖται τὸ τοιοῦτον σχῆμα τοῦ λόγου, τὸ δὶς τοῖς αὐτοῖς ὀνόμασι χρῆσθαι). παρεπιγραφή. διπλασιάσας γὰρ τὸ ἱμάτιον περιβαλέσθαι φησὶν αὐτὸ θέλειν ὑπὲρ τοῦ σκέπεσθαι [καὶ ἧττον αὐτοῦ καθικέσθαι τὸν ὑετὸν τοῦ σώματος. ἡ γὰρ ἀρχὴ τῶν Διονυσίων χειμῶνος ἄγεται. — πτύξωμαι : Ἤγουν καλύψωμαι, συσπάσωμαι. *Vict.* τὸ πτύξασθαι ἐκ μεταφορᾶς εἴρηται τῶν ζωοφύτων, ἤτοι ὀστράκων, ἅπερ οἱονεὶ πτύχας, ἤτοι πύλας τὰ ὄστρακα ἔχοντα, καὶ ταῦτα συνάπτοντα, ἑαυτοῖς περιποιοῦσι τὸ ἀσφαλές. Vict.]

268. (τὸ δὲ μὴ κυνῆν : Περικεφαλαίαν, ἀγροίκων φόρημα. οὕτως δὲ ἐκλήθη, ἐπειδὴ πρῶτον ἀπὸ κυνείων δερμάτων ἦν. — περικεφαλαίαν ἤτοι καμηλαύκιον. φασὶ δὲ τὸ πρότερον ἀπὸ καμηλείου δέρματος γίνεσθαι. V.

ἔχοντα : Οὐ μωρὸν δηλονότι, οὐκ ἀνόητον; ἐλλειπὲς γὰρ εἴρηται.)

270. [χιονοβλήτοισι κάθησθε : Ἀντιπαρατάττεται Ὁμήρῳ [Od. Z, 42] λέγοντι

Οὔλυμπόνδ', ὅθι φασὶ θεῶν ἕδος ἔμμεναι.

χιονόβλητα γὰρ τὰ ὑψηλὰ τῶν ὀρῶν πληροῦσθαί τε καὶ διατηρεῖν τὴν χιόνα πέφυκεν. εἰώθασι δὲ καὶ τὰ νέφη τούτοις ἐπικαθῆσθαι.]

271. [εἴτ' Ὠκεανοῦ πατρὸς : Καὶ τοῦτο φυσικόν φησιν, ἀπὸ τοῦ Ὠκεανοῦ πάντα τὸν ἀέρα τὴν νοτίαν, τὴν ἰκμάδα καὶ τὸν ὑετὸν τούτοις ἐπιχορηγεῖν.]

(Νύμφαις : Λείπει ἡ σύν Ἀττικῶς, σὺν Νύμφαις.)

372. (προχοαῖς : Λείπει ἡ ἐπί, ἵνα ᾖ ἐπὶ ταῖς προχοαῖς τοῦ Νείλου. — ζητεῖται δὲ τίνος ἕνεκεν μόνου τοῦ Νείλου μέμνηται. ὅτι σεμνολογεῖν λεληθότως ὁ ποιητὴς βουλόμενος τὰ καθ' αὐτόν· ἦν γὰρ τὸ γένος Αἰγύπτιος. καιρὸν οὖν εὑρὼν μνήμην τοῦ Νείλου πεποίηται. V. πρόχουσιν δὲ, ἀγγείοις. — πρόχουσιν : Ἀγγείοις, ὑδρείαις. *Vict.*)

(273). ἢ Μαιῶτιν λίμνην : Περὶ ταύτης Ἡρόδοτος [4, 100, 120, 123] μαρτυρεῖ λίμνην εἶναι Σκυθίας. [ἀπὸ τῶν ποταμῶν δὲ ἀρύονται ὕδωρ εἰς χρῆσιν. διὰ δὲ τὸ ἄδηλον, ἐκ διαφόρων καλεῖ αὐτὰς, ἵνα πιστευθῇ.]

νιφόεντα Μίμαντος : Τὸν ἀεὶ νιφόμενον. ὄρος Θράκης [ὁ Μίμας. καὶ Ὅμηρος [Od. Γ, 172] « παρ' ἠνεμόεντα Μίμαντα. »]

νιφόεντα : Τὸν ἀεὶ νιφόμενον, χιονιζόμενον. *Vict.*

(274). χαρεῖσαι : Ἡδυνθεῖσαι. γράφεται δὲ φανεῖσαι. — φανεῖσαι : Παραγενόμεναι. *E.*

275. ἀέναοι Νεφέλαι : [Ἡ ἐπεισόδιος αὕτη στροφὴ καὶ ᾠδὴ τοῦ χοροῦ κώλων ἐστὶ ις', ὧν τὰ πρῶτα δύο δακτυλικὰ πενθημιμερῆ, ἃ καλεῖται Ἀρχιλόχεια, ὡς Ἡφαιστίων [p. 39] φησὶ, διὰ τὸ τὸν Ἀρχίλοχον τούτοις χρήσασθαι ἐν ἐπῳδῷ· ὡς τὸ

ἐν δὲ Βατουσιάδης.

ἔχει δὲ τὸ πενθημιμερές, ὡς εἴρηται, πόδας δύο καὶ συλλαβήν. τὸ γ' ἀναπαιστικὸν ἑφθημιμερὲς, ὃ καλεῖται, ὡς εἴρηται, παροιμιακόν. ἔχει δὲ πόδας γ', καὶ συλλαβὴν, ὡς εἴρηται. τὸ δ' δακτυλικὸν τετράμετρον ἀκατάληκτον· ὃ καλεῖται καὶ αὐτὸ Ἀρχιλόχειον. καὶ τούτῳ γὰρ οὕτως ἐν ἐπῳδοῖς ἐχρήσατο, ὡς Ἡφαιστίων φησί. τετράμετρον δὲ εἴρηται, διότι κατὰ μονοποδίαν μετρεῖται τὰ δακτυλικά. τὸ ε' ὅμοιον. τὸ ἕκτον δίμετρον ἀκατάληκτον. τὸ ζ' ὅμοιον τῷ τετάρτῳ. τὸ η', τὸ θ' καὶ τὸ ι' ὅμοια. τὸ ια' ὅμοιον τῷ πρώτῳ· τὸ ιβ' ἀναπαιστικὸν πενθημιμερές. τὸ ιγ' δακτυλικὸν τρίμετρον κατὰ μονοποδίαν. τὸ ιδ' ὅμοιον τῷ δ'· τὸ ιε' ὅμοιον· τὸ ις'

τηλεσκόπῳ ὄμματι γαῖαν

ἀναπαιστικὸν ἑφθημιμερές· ὃ καλεῖται, ὡς εἴρηται, παροιμιακόν. ἔστι γὰρ κοινὴ συλλαβὴ τὸ πῳ, διὰ τὸ ἔχειν ἔμπροσθεν φωνῆεν. ἐπὶ τῷ τέλει παράγραφος, καὶ διπλῆ ἔσω νενευκυῖα, δηλοῦσα ἔχειν ἀνταπόδοσιν. Ἄλλως.] ἀέναοι Νεφέλαι : Μετὰ τὴν τοῦ Σωκράτους εὐχὴν αἱ Νεφέλαι παρακελεύονται δῆθεν ἑαυταῖς πεισθῆναι τῇ ἐπικλήσει καὶ συναθροισθῆναι, καὶ οὕτως ἐπιφανῆναι τῷ Σωκράτει. ἐκ τούτων δὲ ὁ χορὸς συνέστηκεν διόπερ καὶ τὴν ἐπιγραφὴν ταύτην ἔχει τὸ δρᾶμα. ἀέναοι δὲ αἱ διὰ παντὸς νάουσαι. νεφέλη δέ ἐστιν ἡ ἐξ ἀέρος καὶ πνεύματος οὐσία παχυνομένη σωματοειδῶς. [τοῦ δὲ χοροῦ τὰς ἑκατέρωθεν λέγουσι παρόδους, οὔσας ις' κώλων. τῶν δὲ ὑποκριτῶν μέσων ὄντων, ἐκ στίχων ζ' ἀναπαίστων τετραμέτρων καταληκτικῶν.]

[καλῶς εἶπεν ἀέναοι. εἰσὶ γὰρ ὑδάτων μητέρες. ἀρθῶμεν δὲ, ἀναπηδήσωμεν.] — ἀέναοι : Ἀεὶ ῥέουσαι καὶ στάζουσαι. *Vict.*

[μετὰ τὴν τοῦ Σωκράτους εὐχὴν αἱ Νεφέλαι παρακελεύονται ἀλλήλαις, ὥστε πεισθείσας τῇ ἐπικλήσει Σωκράτους συναθροισθῆναι, καὶ οὕτως αὐτῷ φανῆναι.

τινὲς οὖν εἰς τὸ δροσερὰν φύσιν εὐάγητον, προστιθέασι τὸ ἀφεῖσαι, ἵνα ἐντεῦθεν τὰς αἰτιατικὰς συντάξωσι. τοῦτο δὲ ἐν οὐδενὶ τῶν ἀρχαίων βιβλίων εὕρηται, ἀλλ' οὐδὲ μέτρον ἀπαιτεῖ. συντάσσεται δὲ οὕτω· ὦ νεφέλαι ἀέναοι αἱ ἔχουσαι φύσιν δροσερὰν εὐάγητον ἤγουν εὐκίνητον. LB.]

277. [φύσιν εὐάγητον : Πανταχοῦ φερομένην, ἢ λαμπράν.] λαμπράν, καθαράν. R. εὐάγητον : Πάντη φερόμενον, εὐκίνητον· τοιοῦτον γὰρ τὸ ὕδωρ. *Br.*

(278). Ὠκεανοῦ βαρυαχέος : Ἀκολούθως τοῖς ὑπὸ τοῦ Σωκράτους εἰρημένοις

εἴτ' Ὠκεανοῦ πατρὸς ἐν κήποις.

ἀλλ' ὁ μὲν διὰ τὸ ἄδηλον ἐκ διαφόρων αὐτὰς τόπων καὶ πηγῶν καλεῖ, ἵν' οὕτω γοῦν τῆς ἀληθείας τυχεῖν δυνηθῇ. αἱ δέ, ἅτε τῆς ἑαυτῶν γενέσεως γικώσκουσαι τὸ ἀκριβές, εὐθὺς διώρισαν καὶ πόθεν αὐτὰς ἀρθῆναι δεήσει. βαρυαχέος δὲ τοῦ μέγα ἠχοῦντος. [οἱ γὰρ βαρεῖς ποταμοὶ ῥέοντες μέγαν ἦχον ἀπεργάζονται.] — βαρυαχέος : Μέγα ἠχοῦντος. *R. Vict.*

279. ταῖς κομώσαις κορυφαῖς τοῖς δένδροις. R.

280. Ἔφαμεν ὅτι τοῖς ὑψηλοτάτοις τῶν ὀρῶν ἐπικάθηνται αἱ νεφέλαι. ἵνα ἀντὶ τοῦ ὅπου τὰ πόρρω καθεζόμενα βλέπομεν. R. (ἵνα τηλεφανεῖς : Ὅθεν, ἀφ' ὧν ἐστιν ἰδεῖν τὰ πόρρω. τοῖς γὰρ εἰς ὕψος οὖσι καὶ τὰ μακρὰν καταφανῆ γίνεται.) [τὸ δὲ ἵνα, ἀντὶ τοῦ ὅπου. ἢ τὸ ἵνα ἀφορώμεθα ἐστὶν ἀντὶ τοῦ ὅθεν. κέχρηται δὲ ἐπιρρήματι τῷ ἐν τόπῳ ἀντὶ τοῦ ἐκ τόπου. — ἵνα : Ἀντὶ τοῦ ὅθεν. *Vict.*]

282. ἀρδευομένην. R.

283. ζαθέων : Θαυμαστῶν, ἄγαν θείων. κελαδήματα : Κρ.. ν.. τὰς βοάς. *Vict.* ἠχήματα. R.

284. κελάδοντα : Ἠχοῦντα. βαρύβρομον : Μεγαλόψοφον. *Vict.* βαρύηχον, διὰ τὸν τῶν κυμάτων ψόφον. R. V.

286. [σελαγεῖται : Ἀντὶ τοῦ καταλάμπεται. ἔοικε δὲ λέγειν τὸν ἥλιον. ἐπεὶ καὶ οἱ τραγικοὶ εἰώθασιν ὀφθαλμὸν ὀνομάζειν αὐτόν. τοιαύτη δόξα ἐστὶ παρὰ τοῖς φιλοσόφοις, ὄμμα αἰθέρος καλεῖν τὸν ἥλιον. — ὄμμα αἰθέρος τὸν ἥλιον ἔοικε λέγειν· ἐπεὶ καὶ οἱ τραγικοὶ εἰώθασιν οὕτως καλεῖν, ὀφθαλμὸν δηλαδή. ἔστι δὲ καὶ παρὰ τοῖς φιλοσόφοις τοιαύτη δόξα, ὥστε ὀφθαλμὸν καὶ ἡγεμόνα τοῦ οὐρανοῦ καλεῖν. LB. καταλάμπεται. *Vict.*] ὄμμα αἰθέρος τὸν ἥλιον λέγει. R. ἐκπυροῦται, λάμπεται. R. λάμπεται. V.

μαρμαρέαις : ταῖς λαμπραῖς. μαρμαίρειν γὰρ τὸ λάμπειν. V.

287. ἀποσεισάμεναι : διασκορπίσασαι, τὴν χειμερινὴν ἀπειλὴν ἀποβαλοῦσαι. R. V.

289. ἀθανάταις ἰδέαις : [Ἐπεὶ καὶ γυναικοειδεῖς εἰσιέναι μέλλουσι, τοῦτο λέγουσιν, ἐμπαρασκευαζόμεναι τὴν εἴσοδον, ὡς ὅμοιαι μὲν τοῖς ἄλλοις θεοῖς οὖσαι, περικείμεναι δὲ νέφους τινὰ φύσιν. Ἄλλως. ἀθανάτας ἰδέας κεῖται. καὶ ἔστιν ἑνικὸν ἐν γενικῇ πτώσει. μέλλει δὲ τὰς Νεφέλας γυναικομόρφους εἰσάγειν, ἐσθῆτι ποικίλῃ χρωμένας, ἵνα τὰ τῶν οὐρανίων φυλάττωσι σχήματα. τὸ δ' ἐπιδώμεθα, ἀντὶ τοῦ ἐπίδωμεν καὶ ἐπισκεψώμεθα.] ἵνα γυναῖκας εἰσαγάγῃ τὰς τοῦ χοροῦ.

290. τηλεσκόπῳ : Τὰ πάντα ἐφορῶντι. R. πόρρω ὁρῶντι. *Vict.*

291. ὦ μέγα σεμναί : [Τὸ μερικὸν τοῦτο ἀμοιβαῖον σύστημα ἐκ στίχων ἐστὶν ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν ζ', ὡς ἐρρέθη. λέγεται δὲ τοῦτο σύστημα κατὰ περικοπὴν ἀνομοιομερές, ὡς Ἡφαιστίων φησίν. ἐπὶ τῷ τέλει παράγραφος.] ὦ θαυμασιώταται καὶ ὑπεράγαν σεμναί. R. V. ταῦτα μὲν καθ' ἑαυτόν, τὸ δὲ ἤσθου φωνῆς πρὸς τὸν Στρεψιάδην ὁ Σωκράτης. V.

292. [ἤσθου φωνῆς : Ἐν ταῖς κωμῳδίαις τινὲς μηχαναί, τὰ καλούμενα ἠχεῖα, ὧν ὁ κτύπος σχηματίζεται εἰς βροντῆς ἀπήχησιν. ἔστι δὲ καὶ ἐν τῇ σκηνῇ μηχάνημά τι, ὃ καλεῖται βροντεῖον, ἀμφορεὺς μεστὸς ψηφίδων ἀντιβαλλομένων εἰς χαλκοῦν λέβητα.]

293. [καὶ σέβομαί γ' ὦ πολυτίμητοι : Ἀντὶ τοῦ προσκυνῶ, ἢ καταπέπληγμαι, δεῖ δὲ καὶ τοῖς τούτου σχήμασιν ἐνδείκνυσθαι τὸ δεδιττόμενον, καὶ ἐπὶ τῇ παρουσίᾳ τῶν Νεφελῶν ἐκπεπληγμένον. σέβεται δὲ ὡς σεβασμίας ὑπὸ θεῶν καὶ τιμωμένας. καὶ προσκυνῶν δὲ δῆθεν ταῦτα λέγει.]

[ἀνταποπαρδεῖν : Ἀντὶ τοῦ κτυπῆσαι καὶ ἀντηχῆσαι. περὶ δὲ τὴν βροντὴν ἔπαιξεν, ἐξομοιῶν αὐτῇ τῆς πορδῆς τὸν ἦχον.]

294. πρὸς τὰς βροντάς : Μηχανή ἐστιν, ὃ καλεῖται βροντεῖον, ὑπὸ τὴν σκηνήν· ὃ ἦν ἀμφορεύς, ψηφῖδας ἔχων θαλασσίας. ἦν δὲ λέβης χαλκοῦς, εἰς ὃν αἱ ψῆφοι κατήγοντο καὶ κυλιόμεναι ἦχον ἀπετέλουν ἐοικότα βροντῇ.

τετρεμαίνω : Τρέμω, (παραγώγως. ἐπίτηδες δὲ ἐξέτεινε τὴν λέξιν τερατευόμενος).

295. (κεἰ θέμις ἐστὶ : Καὶ εἰ εὐσεβές ἐστι καὶ μή, χέσαι ἔχω. ὡς ὑπὸ τοῦ φόβου προειλημμένος, καὶ μὴ δυνάμενος ἀνασχεῖν ἔτι. ὁ γὰρ ἐπιστάμενος ὅτι μὴ δεῖ οὕτω ποιεῖν, εἶτα τοῦτο οὐδὲν ἧττον ποιῶν, ὑπὸ μείζονος ἀνάγκης ἐξαγόμενον εἰς τὸ παρανομεῖν δείκνυσιν ἑαυτόν.)

296. [οὐ μὴ σκώψῃς : Τοῦτο ὁμοῦ μὲν ὁ Σωκράτης, καὶ ὡς περιφρονῶν τὰ ἀνθρώπινα, πιστῶς λέγει, καὶ τοὺς τῆς κωμῳδίας ποιητὰς ἡγούμενος ἀθλίους, ὁμοῦ δὲ καὶ Ἀριστοφάνης, αὐτοῦ μὲν οὔ, τῶν δὲ ἄλλων κωμῳδογράφων ἀτεχνούντων, ὡς καταλιπόντων μὲν τὴν ποίησιν, τοῦ δὲ σκώπτειν ἐχομένων.

οἱ τρυγοδαίμονες : Οἱ ποιηταί· ἐπειδὴ τὴν τρύγα χριόμενοι, ἵνα μὴ γνώριμοι γένωνται, οὕτως τὰ αὐτῶν ᾖδον ποιήματα κατὰ τὰς ὁδοὺς ἁμάξης ἐπικαθήμενοι. διὸ καὶ παροιμία, ὡς ἐξ ἁμάξης λαλεῖ, ἤγουν ἀναισχύντως ὑβρίζει. τοῦτο δὲ ἐποίουν οἱ κωμικοὶ ποιηταί. Ἄλλως. οἱ κωμικοί, παρὰ τὸ κακοδαίμονες, ἐπεὶ πολλοὶ τῇ αἰσχροποιίᾳ ἐχρῶντο. κακοδαίμονες δέ, παρόσον ἀφέμενοι τῶν θείων περὶ τὸ σκώπτειν τρέπονται. —

τρυγοδαίμονες : Οἱ ἄλλοι κωμικοί. οὗτοι γὰρ ἐν τοῖς ποιήμασιν αὐτῶν ἀνθρώπους εἰσῆγον χέζοντάς τε καὶ ἕτερα αἰσχρὰ ποιοῦντας. λέγει δὲ δι' Εὔπολιν καὶ Κρατῖνον καὶ τοὺς ἄλλους. τρυγοδαίμονας δὲ τούτους καλεῖ, διότι πάντες οἱ κωμῳδοὶ τρυγὶ ἀνηλείφοντο. E.]

297. σμῆνος ἀοιδαῖς : Τὸ πλῆθος τῶν μελισσῶν. R. [κυρίως μὲν τὸ σύστημα τῶν μελισσῶν. Ὅμηρος δὲ [Il. A, 249] κέχρηται τῇ τροπῇ ἐπὶ εὐγλωττίας ἐπαινῶν τὸν Νέστορα,

τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή.

ὅπερ ἐστὶν ἐσμὸς, τουτέστι σμῆνος τῶν Ἀριστοφάνους ᾠδῶν.]

(298). παρθένοι ὀμβροφόροι : [Ἡ ἀντῳδὴ αὕτη τοῦ χοροῦ κώλων ἐστὶν ὁμοίων τῇ ᾠδῇ δεκαέξ· ὧν ὁ τελευταῖος

καὶ μοῦσα βαρύβρομος αὐλῶν.

ἐπὶ τῷ τέλει δύο διπλαῖ, ὁ μὲν κατ' ἀρχὰς τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος. καὶ ἀμφότεραι ἔξω νενευκυῖαι, δηλοῦσαι ὅτι τέλος ἔσχε τὰ ἀποδιδόμενα. τινὲς δὲ εἰς τὸ παρθένοι στίζουσι, τὸ παλίμβολον τῶν Νεφελῶν παριστάντες. ἄμεινον δὲ εἰς τὸ ὀμβροφόροι στίζειν. Ἄλλως.] ταῦτα οὐχ ὑφ' ἓν ἀναγνωστέον οὐδ' ὡς ἐπίθετον τῶν Νεφελῶν τὸ ὀμβροφόροι νῦν ἐκληπτέον, ἀλλ' ὡς αὐτὸ καθ' αὑτὸ πρᾶγμα δηλοῦν. ἢ καὶ ἄμεινον μὲν ἂν εἴη ὑποστίζειν μὲν εἰς τὸ παρθένοι, ζευγνύναι δὲ τὸ ὀμβροφόροι τῷ ἐπιφερομένῳ, ἵν' ᾖ νοούμενον· ἔλθωμεν ἐπὶ τὴν Ἀθηναίων γῆν ὄμβρου γέμουσαι. καὶ γὰρ εἰ ἀμφοτέρως ἡ ἔννοια σώζεσθαι δύναται, ἀλλ' εὐφημότερόν ἐστιν ὃ προειρήκαμεν. εἰσὶν οὖν αἱ Νεφέλαι πάλιν παρακελευόμεναι καί φασιν, ὅλαι ὀμβρίας πληρωθεῖσαι τῇ τῶν Ἀθηναίων ἐπιστῶμεν πόλει. ἡ δὲ τοιαύτη διαστολὴ ὑπεναντία τοῖς ἄνω γενήσεται προειρημένοις ὑπὸ τοῦ ποιητοῦ, ὡς δεῖ τὰς Νεφέλας τολοιπὸν εὐδίους εἶναι, δι' ὧν ἔφη, « ἀλλ' ἀποσεισάμεναι νέφος ὄμβριον ἀθανάταις ἰδέαις ἐπιδώμεθα. » πρὸς τοῦτο οὖν ἐκεῖνο ἀντιθετέον, ὅτι τὸ συμβαῖνον περὶ τὰς Νεφέλας αἰνιττόμενος ὁ ποιητὴς, παλίμβολόν τινα καὶ παλίστροφον ἐποίησε τὴν γνώμην αὐτῶν, ἐπεὶ ἔκ τε χειμῶνος εἰς εὐδίαν χωρεῖν καὶ αὖ πάλιν ἐξ εὐδίας χειμάζειν πεφύκασι.

299. λιπαρὰν χθόνα : Λιπαρὰς Ἀθήνας (οὐκ ἀπεικότως καλοῦσι, μάλιστα μὲν καὶ διὰ τὸ δόξαι πλουτεῖν τὴν πόλιν, ἔπειτα δὲ καὶ διὰ τὴν τῶν ἡμέρων τροφῶν εὕρεσιν, παρ' οἷς εἰς ἔτι καὶ νῦν τὸ λιπαρὸν τῆς ἐλαίας φυτὸν δείκνυται. Ἄλλως. τὴν εὐθαλῆ καὶ πᾶσι κομῶσαν. καὶ Πίνδαρος [fr. 46] « ὦ ταὶ λιπαραὶ καὶ ἀοί- « διμοι, Ἑλλάδος ἔρεισμα, κλειναὶ Ἀθᾶναι. » εὔανδρον δὲ, τὴν ὑπ' ἀρίστων ἀνδρῶν παροικουμένην. πολυήρατον δὲ, πᾶσιν ἐράσμιον.) —λιπαρὰν : Εἰς τὴν εὔγαιον τὴν Ἀττικήν. Θ. Λαμπρὰν διὰ τὴν ἐλαίαν τὴν οὖσαν ἐν αὐτῇ. R.

301. Κέκροπος : Οὗτος γὰρ τῶν Ἀθηναίων ἦν ἀρχαιόγονος. Θ.

πολυήρατον : Πάνυ ἐπέραστον. Θ. ἐρασμίαν. V.

302. οὗ σέβας : Ὅπου σέβασμά ἐστι καὶ ἀπόρρητα μυστήρια. λίαν γὰρ αὐτοῖς τὸ μὴ ἐξαγγέλλεσθαι ταῦτα ἐσπουδάζετο. [ὅτι δὲ λίαν ἐσπούδαζον περὶ τὰ μυστήρια, δῆλον ἐκ τοῦ ψηφίσματος Μεγαρέων.]

303. μυστοδόκος δόμος : Μυστικὸς καὶ ἱερὸς, τουτέστι τοὺς μύστας ὑποδεχόμενος. λέγει δὲ τὴν Ἐλευσῖνα, ἔνθα τὰ Δήμητρος καὶ Κόρης ἐπιτελεῖται μυστήρια. — τὴν Ἐλευσῖνα λέγει μυστικὴν καὶ ἱερὰν οἰκίαν, καὶ τοὺς μύστας δεχομένην. ἐν αὐτῇ γὰρ τὰ μυστήρια τῆς Δήμητρος καὶ τῆς Κόρης ἐτελοῦντο. LB.

304. ἐν τελεταῖς ἁγίαις : Ἐν τελεσιουργίαις ὁσιωτάταις, τουτέστι τοῖς μυστηρίοις. (εἰκότως δὲ τὰς Νεφέλας παρήγαγε πρῶτον σεμνολογούσας περὶ τῶν μυστηρίων, ἐπεὶ ἔχουσί τινα πρός τε τὰς θεὰς ταύτας καὶ τοὺς δι' αὐτὰς καρποὺς τελειουμένους οἰκειότητα.) εἰ γὰρ τῶν μὲν Νεφελῶν τὸ ὕειν, ἀδύνατον δὲ καρποὺς ἄνευ ὄμβρων γεωργεῖν, πῶς οὐκ οἰκεῖος ὁ περὶ τῶν θεῶν ταῖς Νεφέλαις λόγος; εἴ γε καὶ τὸν Ἴακχον ἐχόρευσαν ταῖς θεαῖς, (ὡς Ἡρόδοτος [8, 65] ἱστορεῖ· ἐν γὰρ τῇ περὶ Σαλαμῖνα ναυμαχίᾳ κατὰ πολὺ λειπομένων τῶν Ἑλλήνων τοῦ πλήθους τῶν Περσικῶν νεῶν συμμαχῆσαι τοῖς Ἀθηναίοις τὴν Δήμητραν καὶ τὴν Κόρην ἱστορεῖ, μέγιστον τῆς συμμαχίας ἐπιδειξαμένας καὶ ἐναργέστατον τεκμήριον. μελλόντων γὰρ λοιπὸν τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων εἰς χεῖρας ἥξειν, πρῶτον μὲν πλεῖστον ὅσον κονιορτὸν ἀπὸ τῆς Ἐλευσῖνος αἰρόμενον πάσῃ τῇ στρατιᾷ κατάδηλον γενέσθαι. εἶτα τοῦτον εἰς οὐρανὸν ἀνιόντα καὶ γενόμενον νέφος διὰ μέσου τοῦ στρατοπέδου χωροῦντα, τὸν Ἴακχον βοᾶν. μυστικὸς ὁ λόγος.)

305. οὐρανίοις τε θεοῖς : Πρὸς ἀντιδιαστολὴν τῶν καταχθονίων, ὧν ἡ Δημήτηρ καὶ Κόρη. τὸ οὐρανίοις δὲ θεοῖς ἐπήγαγεν ὑπερβαλλόντως εὐσεβῆ βουλόμενος ἐπιδεῖξαι τὴν πόλιν. αἱ μὲν γὰρ ἄλλαι πόλεις ἑνί τινι πρόσκεινται θεῶν, αἱ δὲ Ἀθῆναι πάντας [ἀδιαφόρως] τοὺς θεοὺς τιμῶσι.

[δωρήματα : Ἡ γὰρ Δημήτηρ αὐτοῖς τὸν σῖτον ἔδωκε, καὶ Ἀθηνᾶ τὴν ἐλαίαν, καὶ Ποσειδῶν πρώτους εἶναι τὰ ναυτικὰ, καὶ ἄλλοι ἄλλα πάντα. ἢ τὰ δωρήματα θεοῖς ἀντὶ τοῦ θυσίαι νοητέον. Vict.]

306. ὑψερεφεῖς : Ὑψηλοί. Θ. *Br.* ὑψηλὴν ὀροφὴν ἔχοντες. *Vict.*

307. καὶ πρόσοδοι : Θρησκεῖαι περὶ τοὺς βωμοὺς, [πρόσοδοι τοῖς θεοῖς, καὶ προσελεύσεις.] — πρόσοδοι : Πανηγύρεις. Θ. *Vict.* ἑορταὶ καὶ πανηγύρεις. R. V.

(308). εὐστέφανοί τε : [Παρὰ τὸ Ὁμηρικὸν [Il. A, 39]

εἴ ποτέ τοι χαρίεντ' ἐπὶ νηὸν ἔρεψα.]

αὗται γάρ εἰσιν αἱ εὐστέφανοι θυσίαι, κοσμεῖν μὲν καὶ στεφανοῦν τοὺς ναοὺς, πληροῦν δὲ τοὺς βωμοὺς ἱερῶν καὶ θυμιαμάτων. — ἢ ὅτι στεφανηφοροῦντες τὰς θυσίας ἐτέλουν. Junt.

θαλίαι : Εὐδαιμονίαι, εὐθηνίαι, ἀκμαὶ, εὐφροσύναι, πανηγύρεις. Junt.

310. παντοδαπαῖς ἐν ὥραις : Διὰ παντὸς καὶ διηνεκῶς καὶ ἐν παντὶ καιρῷ. διὰ γὰρ τὸ πάντας θρησκεύειν τοὺς θεοὺς θύουσι καὶ πανηγυρίζουσιν ἀεί.

311. ἦρί τ' ἐπερχομένῳ : Τὴν παροῦσαν ἑορτὴν λέγει, τουτέστι τὰ Διονύσια. ἀρχομένου γὰρ τοῦ ἦρος, ἄρχεται καὶ ἡ πανήγυρις. (Βρομία δὲ χάρις οἱ Διονυσιακοὶ ἀγῶνες, ἐν οἷς αἱ ἅμιλλαι τῶν χορῶν.) — ἦρι : Ἔαρι. τότε γὰρ ἐτελοῦντο (ἐτέλουν Θ.) τὰ Διονύσια. Θ. *Br.*]

312. εὐκελάδων τε χορῶν : Τῶν εὐμούσων καὶ ἡδέων χορῶν ἅμιλλαι. (ἐρεθίσματα δέ, ἤγουν ἅμιλλαι, ἢ ὄργανα μουσικά.) τοῖς γὰρ Διονυσίοις τοὺς κυκλίους χοροὺς ἵστασαν, καὶ ἠγωνίζοντο οἱ κωμικοὶ καὶ οἱ τραγικοί, ἀναγορεύοντες τὰ ὑπόγυιον αὐτοῖς πεποιημένα δράματα. — ἐρεθίσματα : Ἅμιλλαι. *Vict.*

313. βαρύβρομος : Ἀντὶ τοῦ πολύηχος, πολλὰ βρέμουσα. προσηύλουν γὰρ καὶ ταῖς τραγῳδίαις καὶ τοῖς κυκλίοις χοροῖς. *R.*

314. [πρὸς τοῦ Διὸς : Εἴσθεσις διπλῆς ἀμοιβαίας καθόλου ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν ρκε΄, ὧν τελευταῖος

διὰ τοὺς ἵππους τοὺς κοππατίας καὶ τὸν γάμον ὅς μ' ἐπέτριψεν.

καλεῖται δὲ τὸ μέτρον Ἀριστοφάνειον, ὡς εἴρηται. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα.]

315. τοῦτο τὸ σεμνόν : Λεληθότως ἑαυτὸν ἐπαινεῖ· σεμνὸν γάρ, φησίν, ἐστὶ τὸ μέλος. [ἔστι γὰρ τοῦτο ἀληθές. ὁ δὲ τὸν ἔπαινον ἐπὶ τὰς Νεφέλας τρέπων, οὐχ οἴεται φορτικὸς εἶναι.]

μῶν ἡρῷναι : (Ἀττικὴ ἡ συναίρεσις τὸ ἡρῷναι, ὡς ἤθεοι ᾖθεοι.)

[κατὰ τὸ ἀρχαῖον καὶ σύνηθες αὐτοῖς ἐνθάδε τρισυλλάβως προηνέγκατο τὸ ἡρῷναι.]

316. ἀνδράσιν ἀργοῖς : Τοῖς φιλοσόφοις. [διασύρει δὲ αὐτοὺς πάλιν. ὠφέλιμοι, φησί, τοῖς ἀνθρώπων ἀπράκτοις. οἱ γὰρ ἀργοὶ κεχήνασιν εἰς τὰς Νεφέλας. — ἀνδράσιν ἀργοῖς : Τοῖς φιλοσόφοις καὶ ποιηταῖς, οἱ μηδὲν ἄλλο μεταχειρίζονται, ἢ περὶ λόγων σχολάζουσιν. *E.*]

317. αἵπερ γνώμην : [Αἵπερ σύνεσιν καὶ φρόνησιν, ὡς τὰ δέοντα νοεῖν. καὶ διάλεξιν] ἀντὶ τοῦ λόγων ἐμπειρίαν· ὥστε τὰ νοηθέντα φράζειν. (τερατείαν δὲ τὴν τερατολογίαν, καὶ περίλεξιν τὴν περίφρασιν, καὶ κροῦσιν τὸν παραλογισμὸν [παρασυλλογισμόν G.], κατάληψιν δέ φησιν ὥστε τὰ νοηθέντα φράζειν.) — γνώμην : Ἐνθυμήματα. (γνῶσιν Θ.) διάλεξιν : Εὐπορίαν εἰς τὸ διαλέγεσθαι. Θ. *E.* — νοῦν : Σύνεσιν.

τὴν γνῶσιν. διάλεξιν λόγων θεωρίαν. διαφέρει διάλεξις διαλέκτου, ὅτι διάλεκτος μέν ἐστι φωνῆς χαρακτὴρ ἐθνικός, διάλεξις δὲ τῆς συνήθους φωνῆς ἐκτροπὴ ἐπὶ τὸ σεμνότερον. τερατολογίαν, παραδοξολογίαν. τερατολογεῖν δὲ τὸ ἀπίθανα διηγεῖσθαι . . . . τῶν ἀνθρωπίνων πραγμάτων. περίλεξιν ἀντὶ τοῦ περίφρασιν. κροῦσιν δὲ τὸ ἀπατῆσαι καὶ παραλογίσασθαι τὸν ἀκούοντα, οἷον παρακρούσασθαι καὶ συναρπάσαι. δοκιμασίαν. R.

318. [τερατείαν : Ψευδολογίαν. — παραδοξολογίαν. ἀλαζονείαν. *Br.*

περίλεξιν : Περιττολογίαν, περίφρασιν. — εὐπορίαν καὶ περιττότητα λόγων. *E.*

κροῦσιν : Ἀπάτην, δοκιμασίαν, παραλογισμόν. — ποικιλίαν καὶ στροφὰς λόγων, δι' ὧν τοὺς διαλεγομένους σοφιζόμεθα καὶ ἀπατῶμεν. Θ. *E.*

κατάληψιν : Εὕρεσιν. τὰ αὐτὰ δὲ καὶ διεξοδικώτερον ἑρμηνευτέον ἂν εἴη πάλιν ἐπαναλαβόντας. διάλεξιν τοίνυν, λόγων ἐμπειρίαν, ὡς ἔφαμεν, ὥστε τὰ νοηθέντα δύνασθαι ἑρμηνεύειν. διαφέρει δὲ διάλεκτος καὶ διάλεξις. διάλεκτος μὲν γάρ ἐστι φωνῆς χαρακτὴρ ἐθνικός, διάλεξις δὲ τῆς συνήθους φωνῆς ἐπὶ τὸ σεμνότερον ἐκτροπὴ καὶ ἐπὶ τὸ ἀγροικότερον. τερατείαν δέ, τερατολογεῖν καὶ ἀπίθανα διηγεῖσθαι καὶ λέγειν πράγματα ἐπέκεινα τῶν ἀνθρωπίνων. περίλεξιν δέ, περιττῶς καὶ περιέργως περιτείνεσθαι διὰ λόγων καὶ δύνασθαι ἑρμηνεύειν τὸ νοηθέν· ὅπερ ἐστὶ λοιπὸν ἔργον τῆς ἐξηγήσεως τοῦ λόγου. δείκνυσι δὲ ἐξ ὅσων συνέστηκε ῥητορική. δεῖ γὰρ νοεῖν, εἶθ' ἑρμηνεύειν, ὅπερ ἐστὶ λοιπὸν ἔργον τῆς ἐξηγήσεως τοῦ λόγου. κροῦσιν, ἢ τὸν παραλογισμὸν καὶ τὴν ἀπάτην· τὸ συναρπάσαι τὸν ἀκούοντα. ἢ δοκιμασίαν· ἐπεὶ τὰ σαθρὰ κροτούμενα δοκιμάζεται. κατάληψιν, τὴν γνῶσιν καὶ αἴσθησιν καὶ τὴν τέχνην. οὕτω γὰρ ὁριζόμεθα τὴν τέχνην, οἷον σύστημα ἐκ καταλήψεων ἐγγεγυμνασμένων, καὶ τὰ ἑξῆς. κατάληψιν δὲ εἰώθασιν οἱ μουσικοὶ λέγειν, ἐπειδὰν πλήξαντες τοῖς δακτύλοις ἢ τῷ πλήκτρῳ τὰς χορδάς, καταλάβωσι καὶ ἀποτείνωσι τὸν φθόγγον.]

319. ταῦτ' : Διὰ ταῦτα. R. λείπει ἡ διά. ἀντὶ τοῦ διὰ ταῦτα, Ἀττικῶς. V.

πεπότηται : Ἀνέπτη καὶ ἀνεκουφίσθη, καὶ μετέωρα φρονεῖ ἤδη. — μετέωρος γέγονε. *E. Vict.* — ἀντὶ τοῦ ἀνέστη. V.

320. [καὶ περὶ καπνοῦ : Ἀντὶ τοῦ, περὶ μηδενὸς καὶ κενῶν πραγμάτων. στενὸς γὰρ καὶ ἀμενηνὸς καὶ ἀσθενὴς ὁ καπνός. παρὰ δὲ τὸ στενὸν εἴληπται τὸ στενολεσχεῖν, τὸ μεταρσιολεσχεῖν, καὶ τὸ μηδὲν λέγειν. καὶ τοῦτο δέ, τὸ λεπτολογεῖν, διασυρμοῦ λέγει χάριν, ὡς ἰσχνὰ τῶν φιλοσόφων ζητούντων ζητήματα. — ἢ ποικίλα καὶ λεπτὰ διεξέρχεσθαι, ὡς εἰς στενὸν κομιδῇ τοὺς διαλεγομένους καθιστᾶν, μὴ ἔχοντας ὅ τι ἀπολογήσονται.] τὸ στενολεσχεῖν ἀντὶ τοῦ λεπτολογεῖν. στενὸς γὰρ καὶ ἀμενηνὸς ὁ καπνός. διασύρει δὲ τὰ τῶν φιλοσόφων ὡς ἰσχνὰ ὄντα. R. περὶ τοῦ τυχόντος λεπτῶς φιλοσοφεῖν, μικρολογεῖν. *Br.*

321. ἀντὶ τοῦ συνάψας ἕτερον λόγον τῷ ῥηθέντι ἀντιθεῖναι. R. V.

(323). βλέπε νῦν : Ὑπερβατόν· λέγειν γὰρ βούλεται, βλέπε νῦν δευρὶ πρὸς τὴν Πάρνηθα ἡσύχως· ὁρῶ γὰρ ἤδη κατιούσας αὐτάς. ὄρος δέ ἐστιν ἡ Πάρνηθος τῆς Ἀττικῆς. θηλυκῶς λέγομεν. [εἰκότως δὲ εἶπε πρὸς τὴν Πάρνηθα κατέρχεσθαι αὐτάς. πᾶσαι γὰρ αἱ τῶν ὀρέων

κορυφαὶ διὰ τὸ ὕψος ἀεὶ συννεφεῖς φαίνονται.] — ὄρος Ἀττικῆς. θηλυκῶς ἡ Πάρνης. R.

324. ἥσυχα : Ἡσύχως. *Br.*

(χωροῦσ' αὗται : Τὸ χωροῦσι καθ' αὑτὸ ἀναγνωστέον, εἶτα ὡς τοῦ πρεσβύτου οὐχ ὁρᾶν λέγοντος, προστίθησι πλέον ἐκτείνων τῇ προφορᾷ τοῦ λόγου, τὸ, αὗται πάνυ πολλαί. εἶτα ὡς οὐδὲ οὕτως ὁρῶντος, πρὸς πλείονα γνῶσιν προστίθησι καὶ τόπον. τὴν δὲ τῶν λεγομένων ἐνάργειαν τὰ τῶν ὑποκρινομένων σχήματα δείκνυσι.) [δείκνυσι δὲ αὐτῷ ὄρος ἐν τῷ θεάτρῳ τὴν Πάρνηθα, ἐξ οὗ κατέρχονται.]

327. εἰ μὴ λημᾷς : Παροιμία ἐπὶ τῶν τὰ μεγάλα παρορώντων. R. V. [τῶν Νεφελῶν πλησίον οὐσῶν, ἐκεῖνος μηδ' οὕτως ὁρῶν, τοῦτο νῦν προσέθηκεν, ἵν' ᾖ τὸ νοούμενον οὕτως· νῦν] αὐτὰς ὁρᾷς, εἰ μὴ λήμας ἔχεις ἐν τοῖς ὀφθαλμοῖς μεγάλας ὡς κολοκύντας. λήμη δέ ἐστι τὸ πεπηγὸς δάκρυον. [δέον δὲ εἰπεῖν ἐν λήμαις, ὁ δὲ κολοκύνταις εἶπε, δεικνύων τὴν ὑπερβολὴν τῆς λημότητος. λείπει δὲ ἡ ἐν, ἵν' ᾖ, ἐν κολοκύνταις· ὡς τὸ νοσεῖν ἐν φρενίτιδι. ἀποδοκιμαστέοι δὲ οἱ νοοῦντες ἔξωθεν, ὁμοίας. οὐκ ὀρθῶς γὰρ ἐοίκασι λέγειν. ὁ δὲ Λουκιανὸς ἐν τῷ πρὸς ἀπαίδευτον καὶ πολλὰ βιβλία ὠνούμενον [c. 23] οὐκ ὤκνησεν εἰπεῖν, χύτραις λημῶντες.]

328. [νὴ Δί' ἔγωγε : Ἔξωθεν ὑπακούεται τὸ ὁρῶ ὡς ἀληθῶς. ἑώρα γὰρ, πλησίον οὐσῶν.] — πάντα : Ἀντὶ τοῦ πάντα τόπον κατειλήφασι. R. V.

331. ἴσθ' ὅτι : Γίνωσκε. *E.*

σοφιστὰς : Ἐν ἄλλοις τοὺς πεπαιδευμένους. τοὺς μετεωρολέσχας νῦν λέγει, καταχρηστικῶς δὲ καὶ πάντας τοὺς ἀπὸ τῶν μαθημάτων ὁρμωμένους. [καὶ θαυμαστὸν οὐδὲν, ὅπου μηδὲ τοὺς αὐλητὰς οὕτω προσαγορεύειν ὤκνησαν. Πλάτων γοῦν ὁ κωμικὸς ἐν δράματι Σοφισταῖς καὶ τὸν Ὀπούντιον αὐλητὴν Βακχυλίδην εἰς τοὔνομα κατέταξε τῶν σοφιστῶν. καταχρηστικῶς δὲ νῦν ἐπὶ πάσης ἐπιστήμης παρέλαβε τὸ ὄνομα τῶν σοφιστῶν. — σοφισταί, οἱ ῥήτορες καὶ οἱ ἀπατεῶνες· καὶ οἱ διδάσκαλοι, καὶ ὅσοι τῶν φιλοσόφων ῥητορικῶς ἔγραψαν. ἐνταῦθα δὲ σοφιστὰς τοὺς διδασκάλους νόει· ὡς τοὺς ἄλλους σοφίζοντας. Junt.]

332. θουριομάντεις : (Ἀπὸ τοῦ γενικοῦ ἐχώρησεν ἐπὶ τὸ κατ' εἶδος.) [εἰπὼν γὰρ ὅτι πάντας αἱ Νεφέλαι τρέφουσι τοὺς σοφιστὰς, ἐπήγαγε τίνας καὶ τίνας. θουριομάντεις δὲ οὐ τοὺς ἀπὸ Θουρίου μάντεις, ἀλλὰ τοὺς εἰς Θούριον, πόλιν Σικελίας, πεμφθέντας ἐπὶ τῷ κτίσαι αὐτήν· ἐπέμφθησαν δὲ δέκα ἄνδρες· ὧν καὶ Λάμπων ἦν ὁ μάντις, ὃν ἐξηγητὴν ἐκάλουν. ἦν δὲ καὶ τῶν πολιτευομένων πολλάκις. λόγους δὲ συνεχῶς εἰσάγειν ἐφαίνετο περὶ τῆς εἰς Θούριον ἀποικίας. ἁλούσης γὰρ Συβάρεως, Θούριοι ἐκλήθησαν ἀπὸ κρήνης Θουρίας. Ἄλλως.] [ὡς πολλῶν γενομένων μαντειῶν ἐπὶ τῆς εἰς Θουρίους ἀποικίας, τούτους δὲ ἔφη τρέφεσθαι ὑπὸ τῶν Νεφελῶν, ὡς διὰ τῶν οἰωνῶν τῶν ἐν τῷ ἀέρι μαντευομένους καὶ εἰς τὸν οὐρανὸν καὶ τὰ νέφη ἀποβλέποντας.]

[ἰατροτέχνας : Καὶ ἰατροὶ περὶ ἀέρων καὶ ὕδατος συνέγραψαν. ὕδατα δέ εἰσι καὶ αἱ νεφέλαι. σύνταγμα δέ ἐστιν Ἱπποκράτους περὶ ἀέρων, τόπων καὶ ὑδάτων.]

σφραγιδονυχαργοκομήτας : Τοὺς κόμαις καὶ περιττοῖς δακτυλίοις τὰς χεῖρας κοσμουμένους μέχρι τῶν ὀνύχων, (ὡς ὑπὸ τῶν δακτυλίων σκέπεσθαι τοὺς δακτύλους. ἢ καὶ τοὺς τῶν ὀνύχων ἐπιμελουμένους, καὶ ὁσημέραι ξέοντας αὐτοὺς ὑπὲρ τοῦ ἐκλάμπειν ἄγαν· ὃ πάσχουσιν οἱ τῷ καλλωπίζεσθαι σχολάζοντες μόνον).

333. κυκλίων τε : [Αἰνίττεται εἰς τοὺς περὶ Κινησίαν καὶ Φιλόξενον καὶ Κλεομένη], (καὶ τούτους εἶναι τῶν σοφιστῶν βούλεται. λέγει δὲ τοὺς διθυραμβοποιούς. τῶν γὰρ κυκλίων χορῶν ἦσαν οὗτοι διδάσκαλοι. ᾀσματοκάμπτας δὲ, ὅτι διὰ τὸ ἁρμονίᾳ μὴ ὑποπίπτειν αὐτῶν τὰ συγγράμματα, καμπὰς ἔχουσι πλείονας, ἃς οἱ μουσικοὶ καλοῦσι στροφὰς, καὶ ἀντιστρόφους καὶ ἐπῳδούς, δι' ὧν καὶ ἐν ταῖς τραγῳδίαις συνειστήκει τὰ χορικά. Ἄλλως. οἱ παλαιοὶ διαφθορὰν μουσικῆς ἡγοῦντο εἶναι τοὺς διθυράμβους. καὶ προελθὼν αὐτῶν μᾶλλον καθάψεται λέγων [969]

εἰ δέ τις αὐτῶν βωμολοχεύσαιτ', ἢ κάμψειέν τινα καμπὴν,
οἵας οἱ νῦν τὰς κατὰ Φρῦνιν ταύτας τὰς δυσκολοκάμπτους,
ἐπετρίβετο τυπτόμενος πολλὰς, ὡς τὰς Μούσας ἀφανίζων.

Καλλίμαχος δὲ [fr. 279] πρὸς αὐτοὺς ἀποτεινόμενος οὕτω πως αὐτῶν καθάπτεται,

νόθοι δ' ἤνθησαν ἀοιδαί.)

ᾀσματοκάμπτας : Τοὺς διθυράμβους, ἐπεὶ καμπὰς τὰς περιῳδὰς λέγουσι. R. V. οἱ λυρικοὶ ποιηταὶ χοροῖς καὶ αὐλοῖς καὶ λύραις τὰ ποιήματα ᾖδον. καὶ νῦν μὲν οἱ τούτων χορευταὶ ἐνταυθοῖ τὰς μετακλίσεις καὶ τὰς καμπὰς ἐποιοῦντο, νῦν δὲ ἐνταυθοῖ, ἀκολουθοῦντες τῷ ᾄσματι. λέγει οὖν τοὺς τοιούτους ποιητὰς ᾀσματοκάμπτας. Junt.

[μετεωροφένακας : Τοὺς διὰ τῶν μετεώρων ἀπατῶντας. φενακίζειν γὰρ τὸ ἐξαπατᾶν. περὶ δὲ τῶν φιλοσόφων λέγει.]

334. μουσοποιοῦσι : Ποιητικῇ ὑμνοῦσι. Junt.

335. ταῦτ' ἄρ' ἐποίουν : Λείπει ἡ διά. (μιμεῖται δὲ τοὺς διθυράμβους.) — στρεπταίγλαν δὲ τὴν στρέφουσαν τὴν αἴγλαν καὶ ἀφανίζουσαν. R. V. καὶ ταῦτα δὲ εἶπεν εἰς τὴν ἀηδίαν τούτων ἐν τοῖς συνθέτοις. R. [τὸ δὲ στρεπταίγλαν, εἰς τὸ διεστραμμένον αὐτῶν, τὴν ἔμπροσθεν οὖσαν τῆς αἴγλης τοῦ ἡλίου καὶ σκοτίζουσαν. νεφέλης γὰρ ἐπιτεθείσης τῷ ἡλίῳ, οὐκέτι τὰς ἀκτῖνας εἰς τὴν γῆν ἀφίησι.] (ταῦτα δὲ εἰς Φιλόξενον τὸν διθυραμβοποιόν. τὸ γὰρ στρεπταίγλαν οὗτος εἶπεν. ἐπεὶ οὖν συνθέτοις καὶ πολυπλόκοις οἱ διθυραμβοποιοὶ χρῶνται λέξεσιν, κατὰ τὸν ἐκείνων ζῆλον καὶ αὐτὸς τοιαύταις χρῆται. δηλοῖ οὖν ἄντικρυς διὰ τὸ ἐξεστραμμένον τὴν ἀηδίαν τούτων ἐν τοῖς συνθέτοις. ἔστι δὲ ἡ γενικὴ τὸ ὑγρᾶν Νεφελᾶν καὶ στρεπταιγλᾶν, εἴπερ οὕτω γράφεται, οὐ πρός τι συνταττόμενον, ἀλλ' οὕτως ἦν ἐν τοῖς ποιήμασιν ἐκείνοις· διὸ καὶ αὐτὸς οὕτως ἔθηκεν. οἱ δὲ,

πρὸς τὸ δάϊον ὁρμὰν, τουτέστι ταχυτάτην, ἑνικὸν τὸ πᾶν εἶναι φάσκοντες. τὸ αὐτὸ δὲ καὶ περὶ τοῦ δροσερᾶν νεφελᾶν. εἰ δὲ στρεπταίγλαν, πρὸς τὸ ὑγρᾶν νεφελᾶν.) — στρεπταιγλᾶν : Ταχυτάτην. *Vict.*

336. πρημαινούσας τε θυέλλας : [Τουτέστι συστροφὰς ἀνέμου. πρημαινούσας δὲ,] ἀντὶ τοῦ μαινομένας, καὶ λάβρως φυσώσας. πρῆσαι γὰρ τὸ φυσῆσαι. Ὅμηρος [Il. A, 481] « ἐν δ' ἄνεμος πρῆσεν μέσον ἱστίον. »

337. γαμψοὺς οἰωνοὺς : Διερὰς μὲν τὰς διύγρους, γαμψοὺς δὲ ἤτοι τὰς καμπτούσας καὶ πλαγίους νεφέλας. [ἢ τὰς ὀρνίθων ὄψεσιν εἰκασμένας. γαμψοὺς γὰρ ἐκάλουν τοὺς ὄρνιθας. αὐτίκα γοῦν (καὶ αὐτὸς τῷ γαμψοὺς, οἰωνοὺς) ἐπήγαγεν.]

ἀερονηχεῖς : Τὰς ἐν τῷ ἀέρι νηχομένας. ⟦παρόσον ἐν αὐταῖς νήχεται τὰ ὄρνεα, ἢ δίκην ὀρνέων ἵπτανται αἱ νεφέλαι. ταῦτα δὲ πάντα ἔκ τινων ποιητῶν εἰσιν, ἄλλο ἄλλου γράψαντος, καὶ τοῦ μὲν τοῦτο, τοῦ δὲ ἐκεῖνο.⟧ — τοιοῦτον γὰρ ἔσθ' ὅτε τὸ τῶν νεφελῶν εἶδος. V.

338. ⟦εἶτ' ἀντ' αὐτῶν : Τουτέστιν, ἀντὶ τούτων, ὧν ἐποίουν εἰς τὰς νεφέλας. διὰ τοῦτο ἤσθιον τοὺς κεστρέας καὶ τὰ ὀρνίθεια κρέα.⟧

(339). κεστρᾶν τεμάχη : [Ἰστέον, ὅτι οὐχ οἱ αὐτοὶ τοῖς κεστρεῦσιν ἰχθύσιν αἱ κεστρέαι. ἄλλοι μὲν γὰρ τὰς μυραίνας ἀξιοῦσι καλεῖν· οἱ δὲ, ἄλλο τι διάφορον ἰχθύων γένος. νῦν μέντοι] κεστρεῖς καλοῦμεν τοὺς κεφάλους.

τεμάχη μεγαλᾶν ἀγαθᾶν : [Τουτέστι τιμίων καὶ λαμπρῶν. ἐπὶ ἰχθύων τὸ τέμαχος καὶ ἐπὶ πλακοῦντος, ἐπὶ δὲ κρεῶν οὐκέτι.] ἐδώρισε δὲ μιμούμενος τοὺς διθυράμβους. τὸ δὲ ὅλον τείνει πρός τε τοὺς παρὰ τοῖς χορηγοῖς ἑστιωμένους καὶ πρὸς τοὺς ἐν πρυτανείῳ ἀεὶ δειπνοῦντας.

κρέα τ' ὀρνίθεια : Καταχρηστικῶς ἐπὶ ὀρνέων κρέα εἶπεν. τούτων δὲ μέμνηται τῶν ᾠκειωμένων νεφέλαις ὑδάτων καὶ ὀρνέων. ταῦτα δέ φησιν, ἐπεὶ ἐν πρυτανείῳ τινὲς αὐτῶν ἐσιτοῦντο καὶ τῶν χρησμολόγων καὶ τῶν μάντεων. βέλτιον μέντοι ὑφ' ἓν ἀναγινώσκειν, κρέατ' ὀρνίθεια, ἵνα ὁ ποιητὴς μνημονεύῃ τῶν ταῖς Νεφέλαις προσῳκειωμένων, τῶν τε ἐνύγρων καὶ τῶν πτηνῶν.

340. ⟦Διὰ μέντοι τάσδ' οὐχὶ δικαίως : Οὐ δικαίως, φησὶν, ἠξιοῦντο τῆς τιμῆς καὶ τῶν δείπνων, διὰ ταῦτα τὰ εἰς τὰς Νεφέλας ὑπ' αὐτῶν γραφόμενα. οὐδὲν γὰρ ἀξιόλογον ἐποίουν.⟧

341. εἴξασι : Ὡμοιώθησαν. *Br*. ἐοίκασι. R. ἐοίκασι, ὡμοίωνται, ἐκ τοῦ εἴκω. V.

342. φέρε ποῖαι γάρ τινες : Δείκνυσιν ἐνταῦθα ὁ Σωκράτης, ὡς ἐν ὅσῳ τις βλέπει τὰς Νεφέλας, τοῦτο τὸ σχῆμα ἐχούσας, μεταστραφεὶς ἀλλοίας ὁρᾷ. Junt. ἐκεῖναι : Αἱ Νεφέλαι. *R. V.*

(344). αὗται δὲ ῥῖνας ἔχουσαι : Εἰσεληλύθασι γὰρ οἱ τοῦ χοροῦ προσωπεῖα περικείμενοι μεγάλας ἔχοντα ῥῖνας καὶ ἄλλως γελοῖα καὶ ἀσχήμονα. διόπερ φησὶν εἰκότως αὐτὰς μὴ ἑωρακέναι, διὰ τὸ μὴ νεφελῶν ἀλλὰ γυναικῶν ὄψεις ἔχειν· ὃ τὴν ἀγνωσίαν αὐτῷ παρεῖχε. δῆλον οὖν ὅτι ὁπόσα ἐν τοῖς ἄνω λέλεκται χορικὰ, οὐκ ἐπὶ τῆς σκηνῆς ὄντος τοῦ χοροῦ εἴρηται, ἀλλ' ἔξω ἑστῶτος καὶ κρυπτομένου ἡ φωνὴ μόνη τοῖς ἔνδον ἐξηκούετο. οὐ γὰρ ἠδύναντο ἐντὸς εἶναι τῆς σκηνῆς αἱ μὴ καταπτᾶσαι μηδέπω. [προειρήκαμεν δὲ τῶν Νεφελῶν εἶναι.]

345. ἀπόκριναι : Ἐμοὶ δή. *Vict.*

(346). Κενταύρῳ ὁμοίαν : Τὸ συμβαῖνον γίνεσθαι περὶ τὰς νεφέλας διηγεῖται. πολλάκις γάρ εἰσι νέφη παρομοιούμενα ζῴοις, ἢ φυτοῖς, ἢ ἀνθρωποειδῆ γιγνόμενα, ἢ ἄλλην τινὰ τοιαύτης ὄψεως ἀποπέμποντα εἰκόνα. φησὶν οὖν, οὐ χρή σε θαυμάζειν, εἰ αἱ Νεφέλαι γυναικῶν ἔχουσι μορφάς· καὶ γὰρ ἐν τῷ οὐρανῷ πολλὰς ἔχουσιν εἰκόνας. τούτων δὲ ἐμνημόνευσεν ἐκείνων ἕνεκα μόνον, δι' ὧν λοιδορῆσαί τινας τῶν πολιτευομένων βούλεται.

348. ⟦κομήτην : Κλεῖτον λέγει, ὃς ἦν ἐπὶ κόμῃ σκωπτόμενος.⟧ — ἀγρίους (καὶ κολλοποδιώκτας) ἐκάλουν τοὺς παιδεραστάς. Ἱερώνυμον λέγει τὸν διθυραμβοποιὸν, ὃς Ξενοφάντου μὲν ἦν παῖς, περὶ παῖδας δὲ ἄγαν ἐπτόητο, λάσιον δὲ εἶχε τὸ σῶμα. ἐπεὶ οὖν καὶ οἱ Ἱπποκένταυροι λάσιον εἶχον τοῦ σώματος τὸ τῶν ἵππων μέρος, ⟦ὥστε καὶ ὁ πρὸς τοὺς Λαπίθας πόλεμος δι' ἀκρασίαν ἔρωτος αὐτοῖς συνέστη, εὐλόγως τῶν ἐρωμανῶν τινα θεωμένας ἐξομοιοῦν αὑτὰς τῇ τῶν Κενταύρων ἰδέᾳ τὰς Νεφέλας παρήγαγεν. — τὸν Ξενοφάντου : Υἱὸν, Ἱερώνυμον λέγει. *Vict.* Ἱερομνήμων ἦν υἱὸς τοῦ Ξενοφάντου, διθυραμβοποιὸς ποιητής. ἦσαν δέ τινες ἄγαν ἐπτοημένοι πρὸς αὐτὸν, αἰσχρῷ ἔρωτι. LB.⟧

351. τί δ' ἦν ἅρπαγα : ⟦Οὗτος κεκωμῴδηται παρὰ Ἀριστοφάνει ὡς χρεωφειλέτης. τίνι, φησὶν, αἱ Νεφέλαι ἑαυτὰς ἂν εἰκάσειαν, ἐὰν ἀφομοιώσασθαι θελήσωσιν ἑαυτὰς Σίμωνι, διαρπάζοντι καὶ νοσφιζομένῳ τὰ κοινά;⟧ σοφιστὴς ὁ Σίμων ἦν καὶ τῶν ἐν πολιτείᾳ διαπρεπόντων τότε· καὶ πάντως ὅτι τῶν δημοσίων τι ἐνοσφίσατο χρημάτων. μνημονεύει δὲ αὐτοῦ καὶ Εὔπολις ἐν Πόλεσι, διαβάλλων αὐτὸν ἐπὶ τοῖς αὐτοῖς ἐγκλήμασιν (οὕτως,

ἐξ Ἡρακλείας ἀργύριον ὑφείλετο.

κωμῳδεῖται δὲ νῦν, ἵν' ἢ παύσηται ἁρπάζων, ἢ ἀκούσαντες οἱ Ἀθηναῖοι εἰς εὐθύνας ἀγάγωσιν ὧν κατεδήδοκε.)

[353]. Κλεώνυμον : Τὸν Κλεώνυμον τοῦτον ὡς δειλὸν καὶ ἐπὶ τῆς παρατάξεως ῥίψαντα τὴν ἀσπίδα οἵ τε ἄλλοι κωμῳδοὶ διαβάλλουσι (καὶ ἐν τοῖς Σφηξὶν αὐτός. ὡς δειλὸς δὲ ἐν πολλοῖς κωμῳδεῖται). τὸ δὲ ἐχθὲς προσέθηκεν ὡς ὑπόγυιον τοῦ Κλεωνύμου ῥιψάσπιδος γεγενημένου, τῷ καιρῷ χρώμενος εἰς αἰσχύνην τοῦ δεδρακότος. μείζονα γὰρ τὰ ὑπόγυια πταίσματα τὴν συμφορὰν ἔχει.

354. δειλότατον : Δειλότατον γὰρ τὸ τῶν ἐλάφων γένος. καὶ Ὅμηρος [Il. A, 225] « κραδίην δ' ἐλάφοιο. » R. V.

355. καὶ νῦν ὅτι Κλεισθένη : Καὶ νῦν διὰ τὸν Κλει-

σθένην γυναῖκες ἐγένοντο. οὗτος δὲ ἐπὶ κιναιδίᾳ διαβάλλεται. τοῦτον δὲ ὡς γυναικιζόμενον οὐκ Ἀριστοφάνης διαβάλλει μόνον, ἀλλὰ καὶ Κρατῖνος ἐν Πυτίνῃ, λέγων οὕτως,

λῃρεῖς ἔχων· γελοῖος ἔσται Κλεισθένης κυβεύων
ἐν τῇδε τῇ κάλλους ἀκμῇ· γράφ' αὐτὸν ἐν σποδείῳ.

τοῦτον ἰδοῦσαι, φησίν, αἱ Νεφέλαι, εἰς γυναῖκας μετεμόρφωσαν ἑαυτάς.

358. χαῖρ' ὦ πρεσβῦτα : Ἐξήγησις τοῦ πρεσβῦτα τὸ παλαιγενές. νῦν δὲ οὐχ ὡς σεμνόν τινα προσηγόρευσαν αὐτὸν διὰ τὸν χρόνον, ἀλλ' ὡς ἀνόητον. τοὺς γὰρ εὐήθεις ἀρχαίους καὶ παλαιοὺς ἔλεγον. — παλαιγενὲς : Οὐκ ἐπὶ σεμνῆς προσηγορίας τοῦτο παρείληφεν, ἀλλ' ἀνόητον δεῖξαι βουλόμενος. τοὺς γὰρ εὐήθεις καὶ ἀνοήτους ἀρχαίους καὶ παλαιοὺς ἐκάλουν. LB.

θηρατὰ : [Ἀντὶ τοῦ ἰχνευτὰ λόγων, ἢ ζηλωτὰ, ἢ μετιὼν λόγους.] ἐπιθυμητὰ συνετῶν λόγων. R.V.

359. [ὅ τι χρῄζεις : Ὅ τι βούλοιο. Σωκράτει δὲ λέγουσι. τὸ δὲ λεπτοτάτων λήρων ἀντὶ τοῦ συνετωτάτων, καὶ δυσπαρακολουθήτων λόγων.]

361. πλὴν ἢ Προδίκῳ : [Οὕτως ἡ ἀκολουθία εἶχε τοῦ λόγου, πλὴν ἢ Προδίκῳ καὶ σοί. ὁ δὲ ἄλλως τὸν λόγον ἐσχημάτισε, τὸ μὲν σοί κατ' ἀρχὰς οὐκ εἰπὼν, ἔπειτα δὲ ἐπενεγκών. μέμνηται δὲ νῦν τοῦ Προδίκου διασύρων ὅτι μεγίστην δόξαν εἶχε περὶ αὐτοῦ, ὡς ὑπὲρ πάντας ὢν τῇ σοφίᾳ.] (σοφιστὴς δὲ ἦν ὁ Πρόδικος, Κεῖος τὸ γένος. ἤκμασε δὲ κατὰ τοὺς χρόνους Σωκράτους. πρῶτος δὲ οὗτος τὴν πεντηκοντόδραχμον ἐπίδειξιν ἐποιήσατο. μνημονεύει δ' αὐτοῦ καὶ Πλάτων ἐν τῷ Πρωταγόρᾳ καὶ Ξενοφῶν ἐν τοῖς Ἀπομνημονεύμασιν [2, 1, 21], οὐ μὴν ἀλλὰ καὶ Ἀριστοφάνης ἐν Ταγηνισταῖς οὕτως,

τὸν ἄνδρα τόνδ' ἢ βιβλίον διέφθορεν,
ἢ Πρόδικος, ἢ τῶν ἀδολεσχῶν εἷς γέ τις.

διαβαλλει δὲ αὐτὸν καὶ ἐν Ὄρνισιν [693] οὕτω,

παρ' ἐμοῦ Προδίκῳ κλάειν εἴπητε τὸ λοιπόν.

διδάσκαλος δὲ ἦν οὗτος καὶ Θηραμένους τοῦ ἐπικαλουμένου κοθόρνου, ὃς τῆς τῶν τριάκοντα τυραννίδος μετέσχε. κόθορνος δὲ ἐκαλεῖτο οὗτος, ἐπεὶ καὶ τοῖς τριάκοντα συνέσπευδε καὶ τῷ πλήθει. καὶ γὰρ ὁ κόθορνος τὸ ὑπόδημα ἀμφοτέροις ἁρμόζει τοῖς ποσί. φέρεται δὲ καὶ Προδίκου βιβλίον ἐπιγραφόμενον Ὧραι, ἐν ᾧ πεποίηκε τὸν Ἡρακλέα τῇ ἀρετῇ καὶ τῇ κακίᾳ συντυγχάνοντα, καὶ καλούσης ἑκατέρας ἐπὶ τὰ ἤθη τὰ αὐτῆς, προσκλῖναι τῇ ἀρετῇ τὸν Ἡρακλέα καὶ τοὺς ἐκείνης ἱδρῶτας προκρῖναι τῶν προσκαίρων τῆς κακίας ἡδονῶν. Ἄλλως. ) ἐπὶ καθαιρέσει Σωκράτους τὸν Πρόδικον μέγαν ἀποφαίνει διαφόρως. οὗτος δὲ σοφιστὴς ἦν μετεωρολόγος. — πλὴν ἢ : Εἰ μή. γνώμης : Συνέσεως. *Vict.*

362. βρενθύει : Ἀποσεμνύνεις σεαυτὸν τῷ σχήματι καὶ ταυρηδὸν ὁρᾷς. Ἄλλως. σεμνύνῃ καὶ μέγα φρονεῖς. (οἱ γὰρ ἐπιδεδωκότες ἑαυτοῖς σοβαρῶς πεφύκασι βαδίζειν. ὡς τοῦ μὲν Προδίκου ὄντος σοφοῦ, τοῦ δὲ Σωκράτους κενὴν μόνον ἐπὶ σοφίᾳ δόξαν καρπουμένου.) —βρενθύει : Κομπάζεις καὶ ὑπεροπτικῶς βαίνεις. Θ.

καὶ τὠφθαλμὼ : Σεμνὴν τὴν ὄψιν ἔχεις. εἰσὶ γὰρ ἀνθρώπων (τινὲς τοιοῦτοι) σεμνοὶ μὲν φανῆναι, οὐ κατὰ τὴν ὄψιν δὲ ἔχοντες καὶ τὰ ἐπιτηδεύματα. [οὕτω δὲ ἐβάδιζε Σωκράτης. καὶ Πλάτων [Phædon. p. 117, B] περὶ αὐτοῦ « ταυρηδὸν ὑποβλέψας, ὥσπερ εἰώθει. » — ἴδιόν ἐστι τῶν ἀλαζόνων τὸ μὴ ἔχειν ἀεὶ τὸ βλέμμα ἐπὶ ταυτοῦ, ἀλλ' ἄνω καὶ κάτω κινεῖν, καὶ νῦν μὲν ἐνταῦθα, νῦν δ' ἄλλοσε μεταφέρειν. E. Vict.]

365. φλύαρος : ἀντὶ τοῦ φλήναφος καὶ λῆρος. R.

367. μὴ φλυάρει. R.

371. καί τοι χρῆν : Ἀντὶ τοῦ, καί τοι ἐχρῆν. Junt.

καίτοι 'χρῆν αἰθρίας οὔσης : Εἰ τὸ βρέχειν ἦν, φησίν, ἐν τῇ τοῦ Διὸς ἐξουσίᾳ, καὶ μὴ τῶν Νεφελῶν τοῦτο ἦν ἔργον, ἐχρῆν αὐτὸν καθ' ἑαυτὸν ἄνευ Νεφελῶν ὕειν. — αἰθρίαν δὲ ἐν ἐκτάσει καὶ ἐν τοῖς ἔμπροσθεν παρετηροῦμεν. *R.* [Ἄλλως. δοκεῖ τῆς κατὰ Μύσκελλον ἱστορίας ἔχεσθαι τὸ λεχθέν. Μυσκέλλῳ γάρ φασι χρησμὸν δοθῆναι, κτίζειν πόλιν ὅπου ἂν αὐτὸν ἐξ αἰθρίας ὑετὸς λάβῃ· ὁ δὲ ᾤετο οὐκ ἄν ποτε ὑπ' αὐτοῦ κτισθήσεσθαι πόλιν, διὰ τὸ ἀδύνατον τοῦ χρησμοῦ. παραγεγενημένου δ' αὐτοῦ περὶ τὴν Ἰταλίαν, καὶ ἀμηχανοῦντος περὶ τὴν κτίσιν, παρακαθίσασαν τὴν παλλακίδα δακρύειν ἐπ' αὐτῷ ὀδυρομένην, καὶ τέλος εἰληφέναι τὸ χρηστήριον. διὸ καὶ εὐθὺς ἔκτισε τὴν πόλιν. — καίτοι χρῆν αἰθρίας οὔσης : Εἰ τὸ ὕειν, φησίν, ἔργον ἦν τοῦ Διός, ἔδει αὐτὸν ὕειν, μηδαμῶς τῶν νεφελῶν φαινομένων. ἴσως δὲ δοκεῖ τὸ λεχθὲν ἔχεσθαι τῆς κατὰ Μύσκελον ἱστορίας. ὁ Μύσκελος γὰρ χρησμὸν δεξάμενος, κτίσαι πόλιν ὅπου ἂν αὐτὸν ὑετὸς καταλάβοι αἰθρίας οὔσης, ᾤετο μηδέποτε ἂν κτισθῆναι ὑπ' αὐτοῦ πόλιν, διὰ τὸ ἀδύνατον τοῦ χρησμοῦ. παραγενόμενος δὲ περὶ τὴν Ἰταλίαν καὶ μηχανώμενος περὶ τὴν κτίσιν τῆς πόλεως, παρακαθίσασαν τὴν παλλακίδα ἰδὼν δακρύουσαν καὶ ὀδυρομένην, καὶ τέλος ὑπολαβὼν τὸν χρησμὸν εἰληφέναι, ἔκτισε τὴν πόλιν. Harl. 5.] ἀποδημεῖν : Ἀντὶ τοῦ μὴ παρεῖναι. R. V.

372. προσέφυσας : προσήρμοσας. R. V. ἥρμοσας. καλῶς καὶ ὡς ἔδει προσήρμοσας. *Br.*

374. τετρεμαίνειν : Τρέμειν, κατὰ ἀναδιπλασιασμόν. (ἀντὶ τοῦ φρίττειν καὶ δεδιέναι. τὸ γὰρ τρέμειν καὶ πάλλεσθαι τὸ σῶμα τῶν ἄγαν εὐλαβουμένων.)

375. ὦ πάντα σὺ τολμῶν : Ἀντὶ τοῦ ὦ θρασύτατε καὶ τολμηρέ. R. ὦ θρασύτατε. V.

377. κρημνάμεναι : Ἀντὶ τοῦ κρεμάμεναι ἀπὸ τοῦ ἀέρος. ἢ ἐπικρεμάμεναι ἀλλήλαις [καὶ ἐπιβαρούμεναι· περισσὸν δὲ τὸ εἶτα.]

378. παταγοῦσιν : Ἠχοῦσιν. (Ὅμηρος [Il. N, 283]

πάταγος δὲ διὰ στόμα γίνετ' ὀδόντων.)

380. αἰθέριος δῖνος : [Καὶ τοῦτο ἐθρυλεῖτο παρὰ τοῖς

φυσικοῖς.] ἡ περιδίνησις ἡ αἰθερία. (ταῦτα δὲ ἐκ τῶν Ἀναξαγορικῶν λαμβάνει.)

380. Δῖνος νυνὶ βασιλεύων : Ἐγγύθεν ἔλαβεν ἀπὸ τοῦ Διὸς τὸ ὄνομα. [ὥσπερ εἰ ἔλεγε, μὴ βασιλεύειν τὸν Δία, ἀλλὰ Δῖνον. οὐχ ὅτι τὴν δίνησιν ὑποβάλλει, ἐκ τούτου Δῖνος εἶπεν, ἀλλὰ κεραμεοῦν ἐστι βαθὺ ποτήριον, ὃ καλεῖται δῖνος, ὅπερ ἄνω εὐρύτερον ὄν, κάτω εἰς ὀξὺ λήγει. τὸ γὰρ γελοῖον ἐκ τούτου εἰς τὴν τοῦ Δῖνος παρείληφε διάνοιαν. — δῖνος : Δῖνος κυρίως ὁ τόρνος, ἐνταῦθα δὲ ἡ τοῦ οὐρανοῦ κίνησις, ἀφ' οὗ δίνη ἡ συστροφὴ, καὶ δινεῖν τὸ συστρέφειν. ὁ μὲν οὖν Σωκράτης δῖνον εἶπε τὴν τοῦ οὐρανοῦ ἢ τοῦ ἀέρος συστροφὴν καὶ κίνησιν καὶ περιφοράν· ὁ δὲ Στρεψιάδης ποτήριόν τι ἐνόησε κεραμοῦν, δῖνον καὶ τοῦτο καλούμενον παρ' Ἀττικοῖς, τὸ λεγόμενον καυκίον. Vict.]

383. τὸ φημί πρὸς τὰς νεφέλας. R.V.

385. ἄγε ἢ λέγε. τίνι. ἀπὸ αὐτοῦ σου. R. ἀπὸ σοῦ ἐγώ σε. V. [ἀπὸ σαυτοῦ 'γώ σε διδάξω : Εἰς τὸ σαυτοῦ τελείαν στικτέον, ἐπεὶ σύνθετόν ἐστι καὶ ἀμετάβατον γίνεται ὑφ' ἓν λέγουσι.]

386. ζωμοῦ Παναθηναίοις : [Ἐν τοῖς Παναθηναίοις αἱ Ἀττικαὶ τοῖς Ἀθηναίοις πόλεις ἔπεμπον βοῦς. ὅθεν ἡ δαψίλεια τῶν κρεῶν. Ἄλλως.] ἤδη ποτ' ἐν Παναθηναίοις ἐκόρεσας ζωμοῦ τὴν γαστέρα σου. τὰ δὲ Παναθήναια ἑορτὴν παρ' Ἀθηναίοις μεγίστην εἶναι προειρήκαμεν. ἐπεὶ οὖν ἐν τοῖς Παναθηναίοις πᾶσαι αἱ ὑπὸ τῶν Ἀθηναίων ἀποικισθεῖσαι πόλεις βοῦν τυθησόμενον ἔπεμπον, συνέβαινεν ἄδειαν εἶναι τῶν κρεῶν, ὥστε πληροῦσθαι πάντας καὶ παρὰ τὸ δέον ἐσθίοντας διὰ τὴν ἀφθονίαν τῶν κρεῶν. [... βοῦν τεθυσόμενον ἔπεμπον, συνέβαινεν ἀφθονίαν εἶναι κρεῶν, ὥστε κορέννυσθαι πληρουμένους τοὺς βουλομένους κρεάτων τε καὶ ζωμῶν. LB.]

Παναθηναίοις : Τὰ Παναθήναια ἑορτὴ τῶν Ἀθηνῶν ἦν, πασῶν τῶν ἐν Ἀθήναις τελουμένων ἑορτῶν ἡ μεγίστη, ἐν ᾗ ζώων πολλῶν σφαττομένων, ὡς πασῶν τῶν ἀποικισθεισῶν ἀπ' Ἀθηνῶν πόλεων πεμπούσης ἑκάστης ἀνὰ ἕνα βοῦν εἰς τὴν θυσίαν καὶ ἕτερα ἱερεῖα, οἱ μὲν τῆς καλλίονος μοίρας ἄνθρωποι τὰ κρέατα ἔσθιον, οἱ πένητες δὲ τοὺς ζωμοὺς σὺν τμήματι ἄρτου βραχυτάτῳ. Victor.

[εἶτ' ἐταράχθης : Εἶτα συνέβη κινηθῆναι καὶ διαταραχθῆναι τὴν γαστέρα.]

387. [καὶ κλόνος ἐξαίφνης : Καὶ στρόφος τις καὶ εἶλιγξ αὐτῇ συνέπεσε. διεκορκορύγησε δὲ, ἀντὶ τοῦ ἤχησε.] κορκορυγεῖν λέγουσι τὸ λαλεῖν τὴν γαστέρα. (ἐμιμήσατο δὲ τῇ φωνῇ τῶν ἐντέρων τὸν ἦχον.)

391. ἐκ τοῦ κατ' ὀλίγον φησί. *R.*

392. ἀπὸ γαστριδίου τυνουτουί : Ἀντὶ τοῦ μικροῦ. συναγαγὼν δὲ τοὺς δακτύλους φησὶ τοῦτο. R. [ποσόν. συναγαγὼν δὲ τοὺς δακτύλους ἐρεῖ. τύννον γὰρ τὸ μικρόν.] ὅτε ἔλαβεν ὁμολογοῦντα τὸν πρεσβύτην, τότε προσάγειν αὐτὸν ἐπεχείρει τῇ συγκρίσει· καί φησι, θαυμάζεις, εἰ βροντῶσιν αἱ Νεφέλαι πάντα κατέχουσαι τὸν οὐρανὸν, ὅτε ἀπὸ μικρᾶς οὔσης τῆς κοιλίας σου τοσοῦτος ἦχος τῶν πορδῶν γίνεται;

394. τὼ 'νόματ' ἀλλήλοιν : Δυϊκῶς ἔκλινεν. φησὶ δὲ ὅτι διὰ τοῦτο καὶ τὰ ὀνόματά εἰσιν ἀλλήλοις παρεμφερῆ καὶ ὅμοια τῆς βροντῆς καὶ τῆς πορδῆς. [ἔπαιξε δὲ παρὰ τὸ ὁμοιοκατάληκτον.]

396. καὶ καταφρύγει : [Λέγεται γὰρ ὅτι πολλάκις ὁ κεραυνὸς ἀψάμενος οὐκ ἀναιρεῖ, ἀλλὰ περιφλέγει μόνον. Ἄλλως. καταφρύγει, καταίθει. περιφλύει δὲ, περικαίει ἐπιπολῆς. τὸ δὲ ζῶντας, τινὲς ἀντὶ τοῦ πλουσίους ἤκουσαν.] οὓς μὲν κατακαίει, οὓς δὲ ζῶντας περιφλέγει (πυρὶ φλέγει *V.*) R. V. κατακαίει. τοὺς ζῶντας, τοὺς πλουσίους. περιφλύει, ἐξ ἐπιπολῆς καίει. *Br.* τοὺς δὲ ζῶντας περιφλέγει : Ἤγουν τοὺς μὴ ἀποθανόντας μετρίως καίει. *LB.*

397. ἀφίησιν, ἀποπέμπει. R.

397. Κρονίων ὄζων : Ἀρχαῖε καὶ εὐηθείας πνέων. ἔστι δὲ Κρόνια παρὰ τοῖς Ἕλλησιν ἑορτή. ἤγετο δὲ ἑκατομβαιῶνι μηνί. καὶ Κρονίους τοὺς λήρους ἐκάλουν.

βεκκεσέληνε : Ἤτοι ἀπόπληκτε καὶ σεληνόπληκτε καὶ σαλέ. R. (οἷον σεληνόβλητε, ἀπόπληκτε. Ψαμμήτιχος Αἰγύπτου βασιλεύσας ἠθέλησεν ἐπιγνῶναι τίνες πάντων ἀνθρώπων πρεσβύτατοι καὶ πρῶτοι γένοιντο. ὡς δὲ πάντα πολυπραγμονῶν οὐχ οἷός τε ἦν ἀνευρεῖν τὸ ἀκριβὲς διὰ τὸ πολλοὺς περὶ τούτου φιλονεικεῖν, μηχανᾶταί τι τοιοῦτον. λαβὼν ἀρτίτοκα δύο παιδία εἰς οἴκημα κατέκλεισεν ἀνακεχωρηκὸς παντάπασι. καὶ οἱ μὲν λέγουσιν ὡς αἶγας ὑπέπεμπεν αὐτοῖς, ἃς θηλάζοντα ἐτρέφετο τὰ παιδία, οἱ δὲ ὡς τροφοὺς παρέστησε τὰς γλώττας αὐτῶν ἐκτεμὼν, ὥστε τῆς φωνῆς αὐτῶν μὴ ἀκούειν τὰ παιδία. ταῦτα δὲ ὁ Ψαμμήτιχος ἐποίει βουλόμενος εἰδέναι τίνα ποτὲ τὰ παιδία πρώτην προήσουσι τὴν φωνὴν, ἀπαλλαγέντα τῶν ἀσήμων κνυζημάτων. ὡς οὖν τριετὴς αὐτοῖς διεγεγόνει χρόνος τῆς τοιαύτης τροφῆς, εἰσέπεμψεν εἰς τὸν οἶκον τινὰ τῶν φίλων ἐντειλάμενος σιωπῇ παρελθεῖν. τοῦ δὲ ἀνεῴξαντος τὰς θύρας, ὀρέγοντα τὰς χεῖρας τὰ παιδία βέκκος ἐλάλουν. Φρύγας δέ φασι τὸν ἄρτον οὕτως καλεῖν, καὶ οὕτως μὲν Ψαμμήτιχον εὑρεῖν καὶ πιστεῦσαι πρώτους γεγονέναι Φρύγας. ἐνταῦθα δὲ ἡ λέξις σημαίνει τὸ ἀρχαῖε καὶ ἀνόητε. *V.*) [Ἄλλως. ἀντὶ τοῦ, ἀρχαῖε καὶ μωρέ. τοὺς γὰρ μωροὺς ἀρχαίους ἐκάλουν ἀπὸ τῆς ἱστορίας, τοὺς Ἀρκάδας κατὰ τοὺς πρὸ σελήνης χρόνους ἐν ταῖς ἐρήμοις διάγειν, ἢ ὑπὸ ταῖς ὕλαις ἐκ τῶν ἀποπιπτόντων καρπῶν διαζῆν. φιλονεικησάντων δέ ποτε Ἀρκάδων καὶ τῶν Φρυγῶν καὶ Περσῶν περὶ τῆς ἀρχαιότητος, καὶ εἰς κρίσιν ἐλθόντων, Ψαμμήτιχος ὁ βασιλεὺς Αἰγύπτου λαβὼν δύο ἀρτίτοκα παιδία, ἔν τινι ἀπέκλεισε τόπῳ, καὶ αἶγα ἐποίησε ταῦτα θηλάζειν. ἄλλοι δέ φασιν οὐκ αἶγας, ἀλλὰ τὰς ἑαυτῶν μητέρας, ἐκτετμημένας τὰς αὐτῶν γλώττας, ἵνα μὴ δύνωνται διδάσκεσθαι, ὁμιλουσῶν ἀλλήλαις, τὰ παιδία. ἔπειτα μετὰ τριετῆ χρόνον ἐκέλευσε σιωπῶντα ἄνδρα εἰσελθεῖν πρὸς αὐτά. εἰσελθόντος δὲ αὐτοῦ προσεπήδησαν τὰ

παιδία, λέγοντα βέκ. ἔστι δὲ τοῦτο Φρυγιστὶ ἄρτος. ἐκ τούτου Φρύγες ἐφάνησαν ἀρχαιότεροι. ἀπὸ ἱστορίας οὖν εἴρηται ἡ λέξις. ἔστι δὲ παρ' Ἡροδότῳ, ἔνθα περὶ Ψαμμητίχου φησί. δέον δὲ εἰπεῖν προσέληνε, τὸ βέκ παρέπλεξεν, ὅπερ ἐστὶ κατὰ Φρύγας ἄρτος. οἷον σεληνόβλητε καὶ ἀπόπληκτε.]

400. σφόδρα γ' εἴσ' ἐπίορκοι : Οὗτοι καὶ ὡς ἐπίορκοι καὶ ὡς εἰς ἀλλήλους κακοὶ κωμῳδοῦνται.

401. Σούνιον. τόπος τῆς Ἀττικῆς, ἀκρωτήριον ὂν τῆς Ἀτταλίδος φυλῆς. R.

402. τὰς δρῦς γε τὰς μεγάλας : [Ἐπειδὴ τοῖς ὑψηλοῖς καὶ τοῖς δένδροις ἐμπίπτει ὁ κεραυνός.] σημειωτέον δὲ, ὅτι Πελοποννήσιοι ἀρσενικῶς λέγουσι τοὺς δρῦς.

403. οὐκ οἶδ', ἀτὰρ : Ἐστενοχωρήθη ὑπὸ τῶν τοῦ Σωκράτους λόγων.

404. ξηρὸς : Εὔδιος καὶ θερμὸς καὶ μὴ ἔχων ὑγρασίαν [φησὶ δὲ, ὅτι ἄνεμος ἐμπεσὼν ταῖς Νεφέλαις, καὶ ὑπό τινος ἀνάγκης ἐλαυνόμενος, σφοδρότερον πνεύσας καὶ διαρρήξας ἀπορρήγνυσιν ἐξ αὐτῶν τὸν κεραυνόν. κατακλεισθῇ δὲ ἀντὶ τοῦ στενοχωρηθῇ,] συσχεθῇ καὶ μεῖζον καὶ σφοδρότερον πνεύσῃ. [ἐντεῦθεν δὲ δῆλον ὡς πυκνότατόν ἐστι τὸ τῶν νεφῶν σῶμα. εἰ γὰρ ἦν ἀραιὸν, διεφορεῖτ' ἂν ὁ ἄνεμος κατ' ὀλίγον.]

405. ὥσπερ κύστιν : Τὴν κοιλίαν φησὶ, τὴν φῦσαν. εἴρηται δὲ φῦσα ἀφ' οὗ πάσχειν πέφυκε. [ῥήξας δὲ, διασκεδάσας, διασκορπίσας.] ὑπ' ἀνάγκης, ὑπὸ βίας στενοχωρούμενος διαρήξας αὐτάς. R.

406. σοβαρὸς : Αὐθάδης, ὑπερήφανος. *Vict.*

407. ῥοίβδου : Ψόφου. ῥύμης : Ὁρμῆς. *Vict.* ὑπὸ τῆς ὁρμῆς. αὐτὸς ἑαυτὸν θερμαίνων καὶ ἐκπυρῶν. R.

408. [Διασίοισιν : Ἑορτὴ Ἀθήνησι Μειλιχίου Διός. ἄγεται δὲ μηνὸς ἀνθεστηριῶνος η' φθίνοντος. Ἀπολλώνιος δὲ ὁ Ἀχαρνεὺς τὰ Διάσια διακρίνει ἀπὸ τῆς τοῦ Μειλιχίου ἑορτῆς, προσαγορεύεσθαι αὐτὰ λέγων, καθάπερ τινές φασιν, ἀπὸ τοῦ διαφυγεῖν αὐτοὺς εὐχαῖς τὰς ἄσας.] (Ἄλλως. ἑορτὴ Διὸς Ἀθήνησι τὰ Διάσια, ἐν ᾗ πανδημεὶ ἔξω τείχους συνόντες ἑορτάζουσιν. ἔστι δὲ τὰ Διάσια τὰ αὐτὰ τοῖς Διιπολίοις.) — ἀτέχνως : Ἀμελῶς, ἀμαθῶς. *Vict.* ἀπείρως, ἀμαθῶς. V. ἀπείρως. Rav.

409. κᾆτ' οὐκ ἔσχων : Οὐκ ἔσχαζον. Ἀττικῶς ἔκλινεν. οὐκ ἐκίνουν, οὐκ ἔσχισα. ποιοῦσι δὲ τοῦτο, ἵνα μὴ διαρραγῇ. (Ἄλλως. οὐκ ἔσχαζον. εἰώθασι δὲ κεντεῖν καὶ σχίζειν, δίοδον παρέχοντες τῷ πνεύματι τῶν ἐγχειμένων, ὥστε μὴ ἀθρόως ἐξελθεῖν βουλόμενον διαρρῆξαι.) [ἔστι δὲ ἀπὸ τοῦ σχάω σχῶ, ἐξ οὗ τὸ σχάζω· ὡς ἀπὸ τοῦ χλοῶ χλοάζω, καὶ χνοῶ χνοάζω. — ξυγγενέσιν : Ἤγουν τοῖς συμπεφυκόσι κοπρίοις. *Vict.* ἔσχων, ἔσχασα. *D.*]

410. ἡ δ' ἄρ' ἐφυσᾶτο : Ἡ δὲ ὠγκοῦτο ἐπαιρομένων τῶν ὄντων εἰς αὐτὴν ἀρτύσεων. διαλακήσασα δὲ, διαρραγεῖσα, λακὶς γὰρ τὸ σχίσμα. — διαλακήσασα : Ἠχήσασα. *LB.*

411. προσετίλησε : Προσερράντισεν. οἰκείως δὲ νῦν τῷ προσετίλησε χρῆται ὡς ἐπὶ κοιλίας.

414. ταλαίπωρον : τὸ τλητικὸν, ἐπίπονον. *R. Vict.*

416. τὸ μὴ ἀντὶ τοῦ οὐ. V. (μήτε ῥιγῶν : Ἐν γὰρ μόνῳ τῷ τρίβωνι διεχείμαζον οἱ φιλόσοφοι, μηδὲν ἐσθίοντες.) — ἀριστᾶν : Εὐωχεῖσθαι, τρυφᾶν. *Vict.*

417. (Τῶν ἀφροδισίων λέγει καὶ τῆς τοιαύτης λαγνείας. τὰ γὰρ ἀνόητα ἀντὶ τοῦ μωρά. μωραίνειν δὲ τὸ ἀφροδισιάζειν. ταῦτα δὲ οὐκ ἐποίει Σωκράτης, ἀλλὰ πίνειν μὲν οἶνόν φασιν αὐτὸν πλεῖστον, νήφειν δὲ καὶ τὰ συνήθη πράττειν.)

ἀνοήτων : τῶν ἀφροδισίων. R. ἀφροδισίων, καὶ πάντων τῶν ἐκ μωρίας γινομένων. *E.*

418. δεξιὸν : Εὐφυῆ. *Vict.*

419. οὐκ αὐτῇ τῇ γλώττῃ πολεμῶν, ἀλλὰ γλώττῃ καθάπερ ὅπλῳ χρώμενος, τοῦτο γὰρ ὅπλον ῥήτορος, καὶ καταπολεμῶν ἐν αὐτῇ τοὺς ἐναντίους. φησὶν οὖν, εἰ δυνήσῃ πάντων ἀπέχεσθαι ὧν εἰρήκαμεν, δυνήσῃ ἀγωνίσασθαι πρὸς τοὺς ἀντιταττομένους R. V. [τῇ γλώττῃ πολεμίζων : Τῇ γλώττῃ πολεμοῦσι τοὺς ἐναντίους οἱ ῥήτορες. ἐκ τούτων δὲ δείκνυσι τῶν τριῶν ὡς οὗτος ἄριστος ἐν ἀνθρώποις, ὃς ἔν τε πράξει καὶ βουλῇ καὶ λόγῳ τοὺς ἄλλους νικᾷ.] τὸ δὲ δυσκολοκοίτου, δυσκόλως κεῖσθαι ἐώσης. τρυσιβίου δὲ, κεκολασμένης καὶ καταπονούσης τὸν βίον. — γλώττῃ πολεμίζων : Διαλεγόμενος. *Vict.*

421. θυμβρεπιδείπνου : Τὰς θύμβρας δυναμένης δειπνεῖν· ἔστι δὲ βοτάνης εἶδος, ἀφ' οὗ δηλοῖ ὅτι λάχανα μόνα τρωγούσης εὐτελῆ. [ἐκ δὲ τοῦ λαχάνου τούτου καλοῦμεν τὸν εὐτελῶς καὶ φειδωλῶς ζῶντα, θυμβρεπίδειπνον. Junt. εὐτελοῦς περὶ τὰς τροφάς. *Br.* θρυμβεπιδείπνου : Θρύμβον δειπνούσης. *LB.* τρυσιβίου : Τρύσις, νόσος, πόνος. *Vict.*]

422. ἐπιχαλκεύειν : Ἀντὶ τοῦ παιδεύεσθαι, οἱονεὶ ἄκμων.

424. [τὸ Χάος τουτὶ : Χάος λέγει τὸν ἀέρα· παρὰ τὸ κεχύσθαι· ἐτίμων δὲ καὶ τὴν γλῶτταν καὶ ἤσκουν τὴν πολυλογίαν. — γλῶτταν, τὴν στωμυλίαν. *E.*]

425. [οὐδ' ἂν διαλεχθείην : Ἀντὶ τοῦ, οὐδ' ἂν προσείποιμι ἄλλον θεὸν οὐδὲ συντυχών.] R. ἀτεχνῶς : δι' ὅλου. R. παντελῶς διόλου. V.

427. οὐκ ἀτυχήσεις : Ἀντὶ τοῦ οὐκ ἀποτεύξῃ ὧν θέλεις R. — δυστυχῶν R. [δεξιὸς δὲ ἀντὶ τοῦ πεπαιδευμένος.]

428. δεξιὸς : Πεπαιδευμένος. *Vict.*

430. λείπει ποιήσατε. R.

431. ἀπὸ τούτου τοῦ χρόνου. R.

432. γνώμας ἔλεγον τὰς δημηγορίας.

434. ὅσ' ἐμαυτῷ : Χάριν ἐμαυτοῦ. *Br.*

στρεψοδικῆσαι : Ἀντὶ τοῦ ἐκφυγεῖν. καὶ νῦν δὲ χρήστας τοὺς δανειστάς. R. ἀντὶ τοῦ στρέψαι τὰς δίκας. πρὸς ταύτην δὲ τὴν λέξιν καὶ τὸ ὄνομα τῷ γέροντι πεποίηται Στρεψιάδης. τὸ δὲ τοὺς χρήστας διολισθεῖν, τοὺς δανειστὰς ἐκφυγεῖν. — διὰ στροφῆς καὶ ποικιλίας

λόγων τὸ δίκαιον διαφθεῖραι. *E.* διὰ στροφῶν καὶ ποικιλίων λόγων τὸ δίκαιον διαφθεῖραι. διολισθεῖν : Ἐκφυγεῖν. *Vict.*

436. προπόλοισι δὲ, πρόσφυξι καὶ θεράπουσι. λέγει δὲ τοῖς φιλοσόφοις. [[ πιέζει δὲ, στενοχωρεῖ, ἀναγκάζει. — προπόλοισιν : Ὑπηρέταις, νεωκόροις. *Vict.*]]

438. [τοὺς κοππατίας : Μετὰ τοῦ χαράγματος καὶ τοὺς ἐκκεκοφότας αὐτοῦ τὴν οὐσίαν δηλοῖ.

ὅς μ' ἐπέτριψεν : Ὅς αἴτιός μοι γέγονε πάντων τῶν συμβάντων κακῶν· ἢ δι' ὃν ἐδυστύχησα. — ἐπέτριψεν : Ἠφάνησεν. *Vict.*]

439. [[ νῦν οὖν χρήσθων : Ἡ ἔκθεσις τῆς διπλῆς κώλων ἐστὶν ὁμοίων ἀναπαιστικῶν ιη'. ὧν τὸ πρῶτον τρίμετρον βραχυκατάληκτον· τὰ δὲ ἑξῆς δίμετρα ἀκατάληκτα, πλὴν τοῦ δωδεκάτου καὶ ἑπτακαιδεκάτου, ἀναπαιστικῶν βάσεων παρατελεύτων καλουμένων, καὶ τοῦ τελευταίου ἐφθημιμεροῦς ὄντος, καὶ παροιμιακοῦ, ὡς εἴρηται, καλουμένου. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι. ]]

χρήσθων : Νῦν οὖν χρήσθωσαν. τὴν μὲν προφορὰν ὡς δυϊκὸν ἔχει τοῦ σχηματισμοῦ. πληθυντικῶς δὲ λέλεκται χρήσθωσαν. Ἀττικῶν δὲ ἡ τοιαύτη σύνταξις, ποιούντων ἐκεῖνοι, φρονούντων ἐκεῖνοι ἀντὶ τοῦ ποιείτωσαν καὶ φρονείτωσαν, ὡς καὶ ἐνταῦθα. νῦν γὰρ, φησὶ, τὴν ἐξουσίαν αὐτοῖς ἐπιδίδωμι τοῦ ἐμαυτοῦ σώματος, τοῖς προπόλοις δηλονότι, (ἤγουν τοῖς φιλοσόφοις).

441. κακοῦν, ξηραίνεσθαι καὶ τὸ δέρμα μου εἰς ἀσκὸν ἐκδερματίζειν. ὑπὲρ δὲ τοῦ πιστευθῆναι αὐτὸν ἐμμένειν τοῖς ὑποκειμένοις, προσέθηκε πλέον (ἢ ἐκεῖνοι προσέταξαν, καὶ λέγει καταφρονεῖν ἐκδερομένου τοῦ δέρματος). ὁ γὰρ τὰ μείζω ἐπαγγελλόμενος ὑπομένειν, εὐχερῶς ἂν τὰ ἥττονα ὑπενέγκοι.

442. [[ ἀσκὸν δέρειν : Ἀντὶ τοῦ τὸ σῶμα ἐκδέρειν, εἰ δέοι καταφρονήσειν ἐκδερομένου τοῦ σώματος. — αὐχμεῖν : Ξηραίνεσθαι, ἀλουτιᾷν. *Vict.*]]

445. ἴτης : Ἀντὶ τοῦ ἰταμὸς, σκληρὸς, τολμηρὸς, καὶ δι' αὐτῶν χωρῶν τῶν πραγμάτων. — ὁρμητικός. *Br.*

446. βδελυρὸς : Καὶ τὸν πόρνον οὕτως ἐκάλουν, ὡς ἐν τῷ κατὰ Τιμάρχου Αἰσχίνης, καὶ τὸν μίσους ἄξιον. καὶ τὸ μισῆσαι βδελύξασθαι. καὶ τὸν ἀνελεύθερον. [[τὸ δὲ ψευδῶν συγκολλητὴς ἀντὶ τοῦ ψευδοπλάστης.]] — ψευδολόγος. R. V. μιαρός. *Br.* θρασὺς, ἰσχυρός. *Vict.* ξυγκολλητὴς : Συρραφεύς. *Vict.*

447. εὑρησιεπὴς : Ἐφευρετὴς λόγων. *A.* περίτριμμα δικῶν : Τετριμμένος περὶ τὰς δίκας. *Br.*

448. κύρβις : Ὁ περίεργος, ὃν οὐκ ἔστι λαθεῖν· (ἕνεκεν γὰρ μνήμης ἀνέγραφον εἰς τὰς κύρβιας). κύρβις δὲ σανὶς ἔνθα οἱ νόμοι γεγραμμένοι ἦσαν. ἢ οὕτως. ἡδέως ἂν ὁτιοῦν ὑπομείναιμι, ἵνα δόξω τοῖς πολλοῖς λόγων ἔμπειρος εἶναι καὶ νόμους εἰδέναι. R. V. κύρβις : Νόμων πλήρης. *Br.*

(τὸ δὲ κρόταλον ἀντὶ τοῦ εὔγλωττος καὶ εὔστομος ὡς τὰ κρόταλα.) — πολυλόγος. *Br.*

κίναδος, ἀπατητικός. εἴρηται δὲ ἀπὸ μεταφορᾶς τῆς ἀλώπεκος. κοινῶς δὲ θηρίον τὸ κίναδος, οὐχ ὥς τινές φασιν πᾶν ἑρπετόν. R. (τὸ δὲ κίναδος εἶδός τι θηρίου, ὡς καὶ Δημοσθένης ἐν τῷ περὶ στεφάνου [p. 307, 23] « τοῦτο δὲ καὶ φύσει κίναδος τἀνθρώπιόν ἐστιν. » οἱ δὲ πᾶν μὲν θηρίον κίναδος ἀξιοῦσι καλεῖσθαι, ἰδίως δὲ τὴν ἀλώπεκα. κακοῦργος οὖν, φησὶν, ὡς ἀλώπηξ.) [[ τινὲς δὲ, κίναδος, ζῷον μικρὸν, τὸ αἰδοῖον εἰσωθοῦν καὶ ἐξωθοῦν.]] πανοῦργος. *Br.*

τρύμη : Ὁ τετρημένος σφόδρα καὶ πεπερονημένος ἐν τοῖς πράγμασιν, ὃν ἡμεῖς τρύπανόν φαμεν. [τρῦμα δὲ καὶ τρῆμα τὴν ὀπήν φαμεν.] θέλει δὲ εἰπεῖν εὔτονος ὡς τρύπανον. [[ τρύμη οὖν τρύπανον, ὡς πάντων περιγενόμενος. ἢ τριὸς καὶ ταλαίπωρος. ἢ τρυμαλιά. — λεπτολόγος. *Br.*]]

449. μάσθλης ἰδίως ὁ μεμαλαγμένος λῶρος καὶ ἔκλυτος. μάσθλης οὖν ἐνταῦθα ὁ πολυγνώμων (καὶ μηδὲν βέβαιον μηδὲ σταθερὸν γινώσκων. ἢ ὁ ἱμαντώδης καὶ μαστιγίας, ἀπὸ μεταφορᾶς τοῦ μεμαλαγμένου ἱμάντος, ἢ οὕτως εὔτονος ὡς ἱμάς). λέγει οὖν τὸν ὀλισθηρὸν καὶ διαβατικόν. — μεμαλαγμένος. *Br.*

εἴρων : Ὁ πάντα παίζων καὶ διαχλευάζων, εἰρωνευόμενος, ἀπατεών, ὑποκριτής.

γλοιὸς : (Τὸ αὐτὸ δηλοῖ τῷ μάσθλης. εἴληπται δὲ ἡ μεταφορὰ ἀπὸ τοῦ ἐν τοῖς βαλανείοις ἐλαίου πεπηγότος, ὅπερ τοὺς ἐπιλαμβανομένους διολισθάνειν πέφυκε. τοιοῦτος οὖν καὶ ὁ πρεσβύτης εὔχεται γενέσθαι τοὺς τρόπους, ἵνα ὥσπερ διολισθάνειν καὶ φεύγειν δύνηται τοὺς δανειστάς. καὶ μέχρι δεῦρο τοὺς τῇ γνώμῃ σκάζοντας καὶ μηδὲν σταθερὸν φρονοῦντας, καὶ ἄλλο μὲν ἐπαγγελλομένους, ἄλλο δὲ φρονοῦντας καὶ πράσσοντας, διὰ τὸ τῆς γνώμης ὀλισθηρὸν καὶ ἄπιστον γλοιοὺς καλοῦμεν.) [[ ἢ γλοιὸς λέγεται ὁ ῥύπος τοῦ ἐλαίου. λέγει οὖν τὸν ῥυπαρὸν τοὺς τρόπους. Ἄλλως. γλοιὸς ἐπὶ τοῦ ῥυπαροῦ καὶ μιαροῦ καὶ μικρολόγου παραλαμβάνεται. καὶ γὰρ ὁ ῥυπαρὸς διὰ τὴν ἄσκησιν σύνεγγύς πώς ἐστι τῷ γλοιῷ. ἐπὶ δὲ τὸ ἦθος μετενεχθὲν τὸν μοχθηρὸν δηλοῖ καὶ ὀλισθηρὸν καὶ εὐμετάβολον. ]] γλοιὸς, μιαρὸς καὶ ῥυπαρὸς καὶ μικρολόγος. R. γλίσχρος. *Br.*

450. κέντρων : Τουτέστι χαλεπὸς καὶ φρικτὸς, καθὸ καὶ τοὺς ἡνιόχους κεντροτύπους καλοῦμεν, τοὺς τοῖς κέντροις τοὺς ἵππους τύπτοντας. (κέντρων λέγεται καὶ ὁ κλέπτης διὰ τὸ βασανιζομένοις τοῖς κλέπταις καὶ κέντρα προσφέρεσθαι.) [κέντρων δέ ἐστι τὸ ἐπισασσόμενον τοῖς ὄνοις ἐκ πολλῶν καὶ διαφόρων συρραφὲν σακκίων. καὶ ἐπίσαγμα τῶν ὄνων. Ἄλλως. οἱ ἐκ πολλῶν συνηθροισμένοι ἐπὶ τοιαῦτά τινα τοῖς ὑποζυγίοις ῥιπτούμενα καλοῦνται κέντρωνες. οἱ δὲ τὸν λοίδορον ἀκούουσιν· οἱονεὶ κεντροτύπος, ὁ κεκεντρωμένος καὶ φρικτός. — πλήττων. *Br.*]]

στρόφις : Ἀπὸ τοῦ στροφέως ἡ μεταφορά. οἷον εὔστροφος καὶ εὐκίνηκος ἐν τοῖς πράγμασι. — στρέφων τὰ πράγματα. ἀργαλέος : Λυπηρός. *Br.* ἀκαταγώνιστος. R.

451. ματιολοιχός : Οἱ μὲν τὸν λίχνον, οἱ δὲ τὸν

μικρολόγον, ἐπεὶ μάτιον τὸ ἐλάχιστον εἰώθασι λέγειν. οἱ δὲ τὸν μάταια βουλευόμενον καὶ λοχῶντα. (οἱ δὲ τὸν κρουσιμέτρην. μάτιον γὰρ εἶδος μέτρου. ὀξύνει δὲ Ἡρωδιανός.) — σμικρολόγος, φειδωλὸς, καὶ οὐ προϊέμενός τι τῶν αὐτοῦ. *Br.* ματτιολοιχός : Ἐκ μεταφορᾶς τῶν μασσώντων. *LB.*

453. δρώντων ἀτεχνῶς : ἀκριβῶς. οἱ φιλόσοφοι. R.

455. ἀπ' ἐμοῦ χορδὴν τοῖς φιλοσόφοις παραθέτωσαν. χορδὴ δὲ τὸ λεπτὸν ἔντερον. ὑπερβολὴ δὲ] τὸ τοιοῦτον. R.V.

456. φροντισταῖς : φιλοσόφοις. V. εἰς ἑστίασιν. *Vict.*

(456). λῆμα μὲν πάρεστι : Ἐπέκθεσις τῆς διπλῆς ἀμοιβαία, ἐκ κώλων κ', ὧν τὸ πρῶτον τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ δεύτερον τροχαϊκὸν τρίμετρον καταληκτικόν. τὸ γ' δακτυλικὸν πενθημιμερές. τὸ δ' ἀναπαιστικὸν πενθημιμερές. τὸ πέμπτον τροχαϊκὸν δίμετρον βραχυκατάληκτον, ὃ καλεῖται Φερεκράτειον ἀτελές. τὸ ἕκτον ἰαμβικὴ βάσις. τὸ ἕβδομον ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. τὸ ὄγδοον ὅμοιον. τὸ ἔνατον ἰαμβικὸν πενθημιμερὲς, ὃ προῦχον καλεῖται. τὸ δέκατον ὅμοιον τῷ τρίτῳ. τὸ ἑνδέκατον ὅμοιον τῷ ἕκτῳ. τὸ δωδέκατον τροχαϊκὸν πενθημιμερές. τὸ τρισκαιδέκατον ἀναπαιστικὴ βάσις. τὸ τεσσαρεσκαιδέκατον ὅμοιον τῷ ἐνάτῳ. τὸ πεντεκαιδέκατον δακτυλικὸν ἐφθημιμερὲς, ὃ Ἀλκμάνειον καλεῖται. τὸ ἑκκαιδέκατον ὅμοιον τῷ τετάρτῳ. τὸ ἑπτακαιδέκατον ὅμοιον τῷ τρίτῳ. τὸ ὀκτωκαιδέκατον ὅμοιον τῷ ἐνάτῳ. τὸ ἐννεακαιδέκατον, ὃ παρατέλευτον ὀνομάζεται, δακτυλικὴ βάσις. τὸ εἰκοστὸν ὅμοιον τῷ πεντεκαιδεκάτῳ. — λῆμα : Φρόνημα, ἀξίωμα. *Vict.* ἀντὶ τοῦ φρόνημα. R.

458. ἀλλ' ἕτοιμον : ἀλλὰ τολμηρόν. R.

459. οὐρανόμηκες : Μέγιστον· [παρὰ τὸ [Il. K, 212] « ἐπουράνιον κλέος εἴη. » πάλιν δὲ ὡς φιλόσοφος ἀπὸ τοῦ οὐρανοῦ τὴν λέξιν παρήγαγε, διὰ τὸ διδάσκειν τὰ οὐράνια.]

465. τοῦτο : τὸ εὐδαιμονῆσαι δηλονότι. R. τὸ ζῆσαι βίον τοιοῦτον. *Vict.*

469. [ἀνακοινοῦσθαι : Τὸ ἀνακοινοῦσθαι πρὸς τὸ πράγματα σύναπτε καὶ ἀντιγραφάς. εἰκότως δὲ εἶπε τῇ σῇ φρενὶ, δεικνὺς ἐντεῦθεν, ὡς ἄλλος μὲν ἄν τις οὐδενὸς ἄξια ταῦτα ἐλογίσατο, σὺ δὲ πλείστου ἄξια. Vict.]

(471). πράγματα κἀντιγραφὰς : Οὕτως ἐκάλουν τὰς δίκας διὰ τὰς ἀντιθέσεις καὶ λύσεις τῶν ἐπιφερομένων. [τὸ δὲ ἑξῆς, ἀνακοινοῦσθαι τὰ πράγματα καὶ τὰς ἀντιγραφάς.]

(474.) ἄξια σῇ φρενὶ : Τὰ ἄξια πράγματα σὺν τῇ σῇ φρενὶ βουλευσομένους.

(476). νῦν ὁ Σωκράτης λέγει, μᾶλλον δὲ ὁ χορός· εἴωθε γὰρ μετὰ τὸ ᾆσαι ἐπάγειν δίστιχα· ὡς ἂν ᾄδῃ τὸ ἀλλ' ἐγχείρει. V. [ἀλλ' ἐγχείρει : Ἐν ἐκθέσει δίστιχον ἀναπαιστικὸν τετράμετρον καταληκτικόν. εἰώθασι γὰρ μετὰ τὰς τοιαύτας περιόδους ἐπάγειν δίστιχον. ἐπὶ τῷ τέλει τῆς μὲν ἐπεκθέσεως δύο συνήθως διπλαῖ ἔξω νενευκυῖαι, τῆς δὲ διστιχίας παράγραφος. καλεῖται δὲ ταῦτα πολυσχημάτιστα, διὰ τὸ διάφορα δέχεσθαι μέτρα. τὰ δ' ἐφεξῆς λϐ' ἰαμβικά εἰσιν ἀκατάληκτα τρίμετρα· ὧν τελευταῖον

χώρει, τί κυπτάζεις ἔχων περὶ τὴν θύραν ;

ἐπὶ τῷ τέλει κορωνίς. — ἐγχείρει : Ἀρχὴν ποίει. *Vict.*]

481. τειχομαχεῖν μοι διανοεῖ : πρὸς τὰς μηχανὰς ὑπήντησε. R.V. [ἐντεῦθεν παρίστησι τὴν ἑαυτοῦ διάνοιαν. τὸ γὰρ μηχανὰς οὐχ ὡς ὁ Σωκράτης, οὕτω καὶ αὐτὸς ἐνόησεν, ἀλλ' εἰς τειχομαχικὰ ὄργανα. ἐξεπίτηδες καὶ ὁ ποιητὴς ταύτην τὴν λέξιν ἔθηκεν. Junt. ἐντεῦθεν παρίστησι τὴν ἑαυτοῦ ἄνοιαν· τὸ γὰρ μηχανὰς οὐχ ὡς Σωκράτης εἶπεν, αὐτὸς ἐνόησεν, ἀλλ' εἰς τειχομαχικὰ ὄργανα. ἐξεπίτηδες δὲ ὁ ποιητὴς ταῦτα ποιῶν διλημμάτους τίθησι λέξεις. Vict.]

484. ὀφείλεται : Χρεωστεῖταί μοι δάνεισμα παρ' ἑτέρου. *Br.* κεχρεώστηται. R.

486. ἔχεις ἐπιτηδειότητα ἐν τῷ λέγειν. R.V.

487. [ἀποστερεῖν δ' ἔνι : Πρὸς τὸ ὁμοιοκατάληκτον, καὶ πρὸς τὸ ἑαυτοῦ ὁ γέρων βούλευμα. τοῦτο γὰρ αὐτῷ σπουδάζεται τὸ ἀποστερεῖν τοὺς δανειστάς.]

488. ἀμέλει : Παρέλκει. (Ἀττικὴ δὲ ἡ φράσις. ἀντὶ τοῦ, μὴ ἀθύμει.)

490. [συναρπάσει : Ἀντὶ τοῦ συναρπάσῃ. πρὸς τὸ ὑφαρπάσαι ἔπαιξεν, ἐπειδὴ καὶ οἱ κύνες ἁρπάζοντες ἐσθίουσι.]

496. ἀκαρῆ : ἀντὶ τοῦ ὀλίγον χρόνον. R.V. δικάζομαι : Εἰς δικαστήριον ἀπέρχομαι. *Vict.*

497. ἴθι νῦν κατάθου : Ἀντὶ τοῦ ἄγε. ὅπερ δὲ ἐπὶ τῶν μυουμένων τὰ μυστήρια, ἀποδῦσαι αὐτὸν τὴν ἐσθῆτα βούλεται. [ὡς μέλλων δὲ ἐκεῖνος τύπτεσθαι, φησὶν, ἠδίκηκά τι; ὁ δὲ τερατευόμενος ὡς ἐπὶ τῶν μυουμένων, γυμνὸν εἰσάγει αὐτόν.]

[ἴθι νῦν, κατάθου θοἰμάτιον : Ἔθος ἦν τοῖς τότε φιλοσόφοις ἓν χιτώνιον μόνον ἐνδεδυμένους καὶ ἡμιγύμνους καθημένους φιλοσοφεῖν. κατὰ τοῦτο οὖν τὸ ἔθος κατάθου, εἶπεν ὁ Σωκράτης τῷ Στρεψιάδῃ, τὸ ἱμάτιον, ἤγουν ἀπόδυσαι. ὁ Στρεψιάδης δὲ ὑπολαβὼν ὅτι ἀποδύσασθαι τοῦτο κελεύει, ἵνα τὸ ἱμάτιον αὐτοῦ δῆθεν ἀφέληται, ἢ γυμνωθέντα τούτου ἱμάσι τύψῃ, διὸ καὶ ἠδίκηκά τι, φησὶ, καὶ διὰ τοῦτο βούλει ἀφαιρεῖσθαί μου τὸ ἱμάτιον; Vict.]

498. νομίζεται : ἀντὶ τοῦ νόμιμόν ἐστιν. R.

499. ἀλλ' οὐχὶ φωράσων : (Ἔθος ἦν τοὺς εἰσιόντας εἰς οἰκίαν τινὸς ἐπὶ τῷ ἐρευνῆσαι γυμνοὺς εἰσιέναι, ἵνα μή τι ὑπὸ τὰ ἱμάτια κρύψαντες λάθωσιν, ἢ ἵνα μὴ ὑπὸ ἔχθρας λάθωσιν ὑποβαλόντες τὸ ζητούμενον καὶ ζημίας αἴτιοι τούτῳ γένωνται.) οἱ γὰρ μέλλοντες εἰσιέναι, ἵνα ἐπιθεάσωνται χρήματα τοῦ δημοσίου γενόμενα, ἢ κατ' ἔρευναν, γυμνοὶ εἰσίασιν, ἵνα μή τι ὑπὸ τὰ ἱμάτια κρύψωσι. — εἰσέρχομαι : Καὶ δεῖμα ἐντεῦθεν γυμνὸν εἰσιέναι, μήπως κρατηθῶ. *Vict.* ὡς μέλλων τύπτεσθαι τοῦτό φησι. R.

504. ἡμιθνὴς γενήσομαι : Ἐπεὶ ἰσχνὸς καὶ ὠχρὸς

τὴν ἰδέαν ὁ Χαιρεφῶν, ἅτε φιλοσοφίᾳ συντετηκώς· ὅθεν νυκτερὶς ἐκαλεῖτο καὶ πύξινος. [ἰστέον ὅτι ἰσχνὸς καὶ ὠχρὸς τὴν ἰδέαν ὁ Χαιρεφῶν ἦν, ἅτε φιλοσοφίᾳ συζῶν, καὶ ἐκ ταύτης συντετηκὸς ἔχων τὸ σῶμα. διὸ καὶ νυκτερὶς ἐκαλεῖτο, διὰ τὸ ἰσχνόν. Br. ἡμιθνὴς : Ἡμιμαθής. *Cant.* 3. ὤφειλεν εἰπεῖν ἡμιμαθὴς γενήσομαι, ἐπεὶ περὶ μαθήσεως ὁ λόγος. ἀλλ' ἐπειδὴ τὸ μὲν τελείως μαθεῖν ἐστὶ τῷ Στρεψιάδῃ ζωή, διὰ τὸ ἐκ τούτων δυνήσεσθαι τοὺς δανειστὰς ἀποκρούσασθαι, τὸ μηδόλως μαθεῖν οἱονεὶ θάνατος, διὰ τὸ μέλλειν ἀποδοῦναι τὰ χρέα· ἀντὶ τοῦ εἰπεῖν ἡμιμαθὴς ἡμιθνὴς εἶπε. Cant. 3.]

506. σπεύσας εἰς φροντιστήριον. R.

(507). μελιτοῦτταν : Πλακοῦντα μέλιτι δεδευμένον. ἔφερον δέ, ὡς ἐδόκουν, τοῖς ὄφεσιν.

508. ὥσπερ ἐς Τροφωνίου : [Ὁ Τροφώνιος ἐγένετο λιθοξόος ἄριστος, ὃς κατεσκεύασεν ἱερὸν ἐν τῇ Λεβαδείᾳ τῆς Βοιωτίας ὑπὸ γῆν, καὶ καλεῖται Τροφωνίου. ἐκεῖ οὖν οἱ μυούμενοι καθέζονται ἐπὶ τοῦ στόματος γυμνοί, καὶ ἁρπάζονται ὑπό τινων πνευμάτων, καὶ φέρονται ὑπὸ τὴν γῆν. ἐπειδὴ δὲ ἀπαντῶσι δαίμονες καὶ ὄφεις καὶ ἄλλα τινὰ ἑρπετά, βαστάζουσι πλακοῦντά τινα καὶ ῥίπτουσιν ἐπὶ τῷ ἐκφυγεῖν. καὶ μετὰ τὴν μύησιν δι' ἄλλου στόματος ἀναρριπτοῦνται. Ἄλλως.] (οὕτως ὁ Χάραξ ἐν τῷ δ' « Ἀγαμήδης ἄρχων Στυμφήλου τῆς Ἀρκαδίας ἐγάμει Ἐπικάστην, ἧς παῖς ἦν Τροφώνιος σκότιος. οὗτοι τοὺς τότε πάντας ὑπερεβάλλοντο εὐτεχνίᾳ, τόν τε ἐν Δελφοῖς Ἀπόλλωνος ναὸν ἠργολάβησαν· ἐν Ἤλιδι δὲ ταμιεῖον χρυσοῦν κατεσκεύασαν Αὐγείᾳ· ᾧ καταλείψαντες ἁρμὸν λίθινον, νυκτὸς εἰσιόντες ἔκλεπτον τῶν χρημάτων ἅμα Κερκυόνι, ὃς ἦν γνήσιος Ἀγαμήδους καὶ Ἐπικάστης υἱός. ὡς δὲ ἠπόρει λίαν Αὐγείας, ἐπιδημήσαντα Δαίδαλον αὐτόσε κατὰ φυγὴν Μίνωος ἐλιτάνευσεν ἐξιχνεῦσαι τὸν φῶρα. ὁ δὲ παγίδας ἔστησεν, αἷς περιπεσὼν Ἀγαμήδης ἀναιρεῖται. Τροφώνιος δὲ τὴν κεφαλὴν αὐτοῦ τεμὼν πρὸς τὸ μὴ γνωρισθῆναι, ἅμα Κερκυόνι φεύγει εἰς Ὀρχομενόν. Αὐγείου δὲ κατὰ κέλευσιν Δαιδάλου πρὸς τὴν τῶν αἱμάτων ἔκλυσιν ἐπιδιώκοντος, καταφεύγουσιν ὁ μὲν Κερκυὼν εἰς Ἀθήνας, ὡς Καλλίμαχος [fr. 143]

« ὅς ῥ' ἔφυγεν μὲν
« Ἀρκαδίην, ἡμῖν δὲ κακὸς παρενάσσατο γείτων.

« ὁ δὲ ἕτερος εἰς Λεβάδειαν τῆς Βοιωτίας, οὗ κατωρυχὴν ποιησάμενος οἴκησιν διετέλει. τελευτήσαντος δὲ αὐτοῦ μαντεῖον ἀτρεκὲς ἐφάνη αὐτόσε. καὶ θύουσιν αὐτῷ ὡς θεῷ. περιέλιπε δὲ υἱὸν Ἄλκανδρον. » Ἄλλως. ἐν [μὲν] τοῖς [παλαιοῖς] ἀντιγράφοις οὕτως εὗρον. πρῶτον μὲν ὅτι οἱ περὶ Ἀγαμήδην υἱοὶ Ἀπόλλωνος καὶ Ἐπικάστης· οἱ δὲ Διὸς καὶ Ἰοκάστης· οἱ δὲ Ἐργίνου. εἶτα ὡς Δαίδαλος μὲν τὸ τεχνίον ἐποίησεν, αὐτοὶ δὲ κεκλοφότες ἑάλωσαν· καὶ τῷ ἑτέρῳ φεύγοντι διέσχεν ἡ γῆ καὶ ἐδέξατο περὶ Λεβάδειαν. ὕστερον δὲ Βοιωτοῖς λιμώττουσιν ἔχρησεν ὁ θεὸς Τροφώνιον τιμᾶν. οἱ δὲ ἀγνοοῦντες ὅπη εἴη τὸ μνῆμα, σμήνει μελισσῶν περιέτυχον ἐξ ὑπορρῶγός τινος ἀνιουσῶν· καὶ στοχασάμενοι τοῦτον εἶναι τὸν τόπον, ἔκριναν ἐκεῖσε δεῖν τινα κατελθεῖν [θεασόμενον]· ὃς εὑρὼν δύο δράκοντας, προσήνεγκε μελιτούττας καὶ οὐκ ἠδικήθη. ἐξ οὗ τὸ ἔθος ἐγένετο. οἱ δὲ βουλόμενοι χρηστηριασθῆναι, ἁγνεύσαντες ὡρισμένως καὶ στολῇ κεκοσμημένοι θεοπρεπεῖ, κατίασι τοὺς πλακοῦντας ἔχοντες, πρὸς τὸ βάλλειν τοῖς ὄφεσι καὶ μὴ ἀδικηθῆναι ὑπ' αὐτῶν. καὶ πολλοὶ μὲν αὐθημερὸν ἀνεπέμφθησαν δι' αὐτοῦ τοῦ στομίου, οἱ δὲ καὶ διὰ πλειόνων ἡμερῶν.) [ἐν δὲ τοῖς νεωτέροις οὕτως· ὁ Τροφώνιος ἀνὴρ ἦν πάνυ φιλόδοξος. ποιήσας οὖν ἐν Λεβαδείᾳ τῆς Βοιωτίας ὑπόγειον οἴκημα, εἰσελθὼν ἐμαντεύετο, καὶ λιμαγχονηθεὶς ἀπέθανεν. ἐγκατοικῆσαν δὲ δαιμόνιόν τι τὰς μαντείας ἐτέλει. εἰσήρχοντο οὖν ἐντὸς οἱ χρησόμενοι, ἔχοντες ἐν ταῖν χεροῖν πόπανα, ἵνα τοῖς ἐκεῖ ἐμφιλοχωροῦσιν ὄφεσι διδόντες, μηδὲν ὑπ' αὐτῶν δυσχερὲς πάσχωσιν. ὁ δὲ εἰσιὼν ἐκεῖσε λοιπὸν οὐκ ἔτι ἐγέλα διὰ τὴν τῶν ὄφεων ἔκπληξιν. ὅθεν καὶ παροιμία ἐπὶ τῶν ἀγελάστων καὶ συνωφρυωμένων, ἐς Τροφωνίου μεμάντευται.] — χρηστήριόν ἐστιν ἐν Λεβαδείᾳ, ὃ τινὲς Καταβάσιον καλοῦσιν. στόμιον γάρ τί ἐστιν, ὡς τὰ ἄκρα δύνασθαι μόνα τῶν ποδῶν χωρῆσαι. οἱ οὖν τῷ θεῷ χρώμενοι, ἁγνεύσαντες πρῶτον ὡρισμένας ἡμέρας καὶ κοσμήσαντες ἑαυτοὺς ἱερῷ τινι σχήματι καὶ ἀμφοτέραις ταῖς χερσὶ τοιαύτας μάζας λαβόντες, οὕτω καθίζουσιν ἐπὶ τὸ στόμιον καὶ αἰφνίδιον ἁρπάζουσι καὶ καταδύνουσιν ὑπὸ τῆς γῆς. τὰς δὲ μάζας λαμβάνουσιν ὑπὲρ τοῦ μὴ ἀδικηθῆναι ὑπὸ τῶν συναντωμένων ὄφεων, ἀλλ' ἐκείνας αὐτοῖς παραβάλλειν τροφήν. ἐν Λεβαδείᾳ ἱερὸν ἐστὶ Τροφωνίου, ὅπου ὄφις ἦν ὁ μαντευόμενος, ᾧ οἱ κατοικοῦντες πλακοῦντας ἔβαλλον μέλιτι δεδευμένους. R.

509. τί κυπτάζεις ἔχων : Ἀττικῶς περιττεύει τὸ ἔχων. τὸ δὲ κυπτάζεις ἀντὶ τοῦ στραγγεύει καὶ διατρίβεις οὕτως ἐνταῦθα. — κυπτάζεις : Χρονίζεις, διατρίβεις. *Vict.*

[περὶ τὴν θύραν : Βαρέως διακείμενος εἰς τὸ εἰσιέναι δι' αὐτῆς.]

510. [ἀλλ' ἴθι χαίρων : Τοῦτο διὰ τὸ εἰσάγεσθαι τὸν χορὸν ἐξιόντων τῶν ὑποκριτῶν ὀνομάζεται κορωνίς. διὰ δὲ τὸ προτίθεσθαι τῆς παραβάσεως κατὰ τὸ ἔθος, ὀνομάζεται κομμάτιον, κώλων ὀκτώ. ὧν τὸ μὲν πρῶτον ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον, ἢ χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον ἐπιμεμιγμένον δισπονδείῳ. τὸ δεύτερον ἀναπαιστικὸν μονόμετρον. τὸ τρίτον καὶ τὸ ἑξῆς καὶ τὸ ἕβδομον καὶ τὸ μετ' αὐτὸ χοριαμβικὰ δίμετρα καταληκτικὰ εἰς ἀμφίβραχυν περαιούμενα, ἢ βακχεῖον, διὰ τὸ ἀδιάφορον, Ἀριστοφάνεια καὶ αὐτὰ καλούμενα. τὸ πέμπτον χοριαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ἕκτον ἀπὸ ἰαμβικῆς βάσεως εἰς χοριαμβικὴν ὑπερκατάληκτον.

τὸ συστηματικὸν τόδε ἐκ κώλων συνίσταται η'. τὸ α' χοριαμβικὸν δίμετρον ἐκ χοριάμβου, σπονδείου καὶ

ἀμφιμάκρου. τὸ β' δακτυλικὸν μονόμετρον. τὸ γ' χοριαμβικὸν μονόμετρον ἐκ χοριάμβου καὶ βακχείου. τὸ δ' ὅμοιον τῷ γ'. τὸ ε' ἐκ β' χοριάμβων. τὸ ς' ἐκ διιάμβου, χοριάμβου καὶ συλλαβῆς. τὸ ζ' ἐκ χοριάμβου καὶ ἀμφιμάκρου. τὸ η' ἐκ χοριάμβου καὶ βακχείου. εἶτα ἡ παράβασις ἐκ τροχαϊκῶν τετραμέτρων καταληκτικῶν με' συνισταμένη, ὧν τελευταῖος

ἐς τὰς ὥρας τὰς ἑτερας εὖ φρονεῖν δοκήσεται.

λέγεται δὲ τροχαϊκὸν τοῦτο τὸ μέτρον, οὐχ ὅτι μόνον τροχαίους ἔχει, ἀλλ' ἐκ τοῦ πλεονάζοντος καὶ μάλισθ' ὅτι ἐκ παντὸς τὸν ζ' πόδα τὸν πρὸ τῆς καταληκτικῆς συλλαβῆς τροχαῖον ἔχει. παράβασις δὲ λέγεται τοῦτο τὸ σύστημα, ὅτι οἱ ποιηταὶ ὡς ἐκ στόματος τοῦ χοροῦ ἐξέφαινον πρὸς τοὺς θεατάς, ἃ ἐβούλοντο γενέσθαι αὐτοῖς ὡς οἰκείοις προσώποις τοῖς χοροῖς κεχρημένοι, ὅπερ καὶ νῦν οὗτος ποιεῖ δι' αἰτίαν τοιαύτην· νόμος ἦν Ἀθηναίοις μήπω τινὰ ἐτῶν λ' γεγονότα μήτε δρᾶμα ἀναγινώσκειν ἐν θεάτρῳ, μήτε δημηγορεῖν. τούτῳ τῷ νόμῳ καὶ ὁ κωμικὸς οὗτος εἰργόμενος πρότερον διὰ τὸ μὴ τριακονταετὴς ἔτι ὑπάρχειν, ποιῶν δράματα διὰ Φιλωνίδου καὶ Καλλιστράτου ἀνεγίνωσκεν εἰς τὸ θέατρον, ὧν ἓν ἦν τὸ τῶν Δαιταλέων λεγόμενον, ἐν ᾧ δύο εἰσήγαγε μειράκια διαλεγόμενα, σῶφρόν τε καὶ αἰσχρόν. καὶ πολλοῖς τῶν θεατῶν ἐπῃνέσθη, οὐ μέντοι καὶ νενίκηκεν ἐν τούτῳ ὁ ποιητής. ἐπιβὰς δὲ ἤδη τοῦ λ' ἔτους, καὶ τοῦτο δὴ τὸ τῶν Νεφελῶν ποιήσας δι' ἑαυτοῦ διδάσκει, καὶ αἰτεῖ παρὰ τῶν θεατῶν, ἃ δεῖ γενέσθαι αὐτῷ, ἤτοι τὸ νικῆσαι τῷ δράματι. Vict. ἴθι : Πορεύου, ἐλθέ. *Vict.*]

511. κομμάτιον χοροῦ. R.

514. ἀντὶ τοῦ γηράσας. R.

516. [χρωτίζεται : Ἀντὶ τοῦ χρωματίζεται. αὐτὸς δὲ ὁ χρωματισμὸς εἰς πρόσωπον γίνεται. αὐτὸς γὰρ κατὰ νοῦν ἐχρωματίζετο, διὰ τοῦτο ἐπήγαγε, τὴν αὐτοῦ φύσιν, ἵν' ᾖ ὅλον καὶ μέρος, διὰ μὲν τοῦ χρωματίζεται νοουμένου τοῦ ὅλου, διὰ δὲ τοῦ τὴν αὐτοῦ φύσιν, τοῦ μέρους. Junt., Vict.] πλησιάζεται. R.

517. ἐπασκεῖ : Παιδεύεται. *Vict.*

518. ὦ θεώμενοι : [Ἡ παράβασις δοκεῖ μὲν ἐκ τοῦ χοροῦ λέγεσθαι. εἰσάγει δὲ τὸ ἑαυτοῦ πρόσωπον ὁ ποιητής.] παράβασις δέ ἐστιν ὅταν ἐκ τῆς προτέρας στάσεως ὁ χορὸς μεταβὰς οὕτως ἀπαγγέλλῃ πρὸς τὸν δῆμον ἀφορῶν. (εἴδη δὲ παραβάσεων ἑπτά· ἁπλᾶ μὲν τρία, κατὰ δὲ σχέσιν τέσσαρα. τὰ μὲν οὖν ἁπλᾶ ἐστι ταῦτα· κομμάτιον· παράβασις ὁμωνύμως, ἣ καὶ ἀνάπαιστος καλεῖται, ἐπεὶ πολλάκις ἐν ταύτῃ τῷ ἀναπαίστῳ χρῆται· πνῖγος, ὃ καὶ μακρόν. τὰ δὲ κατὰ σχεσιν, στροφή, ἀντίστροφος, ἐπίρρημα, ἀντεπίρρημα. ἡ μὲν οὖν στροφὴ καὶ ἀντίστροφος συνεμπίπτουσι κατὰ τὸ μέτρον καὶ τὰ κῶλα· πάλιν τὸ ἐπίρρημα καὶ τὸ ἀντεπίρρημα. [τινὲς δὲ προστιθέασι καὶ ᾠδὴν καὶ ἀντῳδήν. ἔχουσι γὰρ καὶ ταῦτα σχέσιν πρὸς ἄλληλα.] ἡ μὲν οὖν παράβασις ἡ ἐκ τούτων συγκειμένη τελεία ἐστί. εἰσὶ δὲ καὶ ἀτελεῖς παραβάσεις, ὧν ἐστι καὶ αὕτη.) [ἑπτὰ δὴ ὄντων τῶν τῆς παραβάσεως μερῶν, ἐφ' ἕκαστον τῶν ἀπολελυμένων τριῶν τίθεται ἡ παράγραφος. οὐχ ἧττον δὲ καὶ ἐπὶ τοῦ μέλους καὶ τοῦ ἐπιρρήματος, ἂν μηδὲν ἀποδιδῶται. ἐὰν δὲ ἐνῇ τὰ ἀνακυκλούμενα, τό τε ἀντίστροφον τοῦ μέλους καὶ τὸ ἀντεπίρρημα, ἐπὶ τοῦ ἐπιρρήματος τίθεται ἡ ἔσω νενευκυῖα διπλῆ ὑπὲρ τοῦ δηλῶσαι ὅτι ἐστὶ τὰ ἀνταποδιδόμενα· ἐπὶ δὲ τοῦ ἀντεπιρρήματος ἡ ἔξω νενευκυῖα. ἐν δὲ τοῖς ἀποδιδομένοις πάλιν ἐφ' ἑκάστης στροφῆς παράγραφος. ἐπὶ δὲ τοῦ τελευταίου κώλου δύο διπλαῖ, ἡ μὲν κατ' ἀρχάς, ἡ δὲ κατὰ τὸ τέλος. ἀμφότεραι μέντοι ἔξω νενευκυῖαι, δηλοῦσαι ἡμῖν ὅτι ἀνταποδίδοται. τὸ δὲ μέτρον ἀσύστατον Εὐπολίδειον καλούμενον, στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν με', ὧν τελευταῖος

ἐς τὰς ὥρας τὰς ἑτέρας εὖ φρονεῖν δοκήσετε.

τὸ δὲ τροχαϊκὸν μέτρον κατὰ πᾶσαν μὲν χώραν δέχεται τροχαῖον καὶ σπονδεῖον, πλὴν τῆς παρατελεύτου, μὴ ὄντος τοῦ μέτρου χωλοῦ. καὶ κατὰ μὲν τὰς περιττὰς τρίβραχυν καὶ δάκτυλον, εἰ τύχοι. τῶν δ' ἀρτίων τὰς μὲν ἑτέρας ἀνάπαιστον, καὶ οὓς ἔφην ἐγχωρεῖν πάσῃ χώρᾳ. ἰδίως δὲ τὴν τετάρτην ἐν τούτοις ἴαμβον. ἐπὶ τῷ τέλει παράγραφος. ἐχρῆν δὲ τὴν λέξιν ὑπὸ τοῦ χ σημειοῦσθαι. ἐχρήσατο γὰρ μετοχῇ ἀντὶ ὀνόματος.]

κατερῶ : Ἀργόν. ἐρῶ. ἐλεύθερος : Μετὰ παρρησίας. *Vic.*

519. [νὴ τὸν Διόνυσον : Ἐπεὶ ἐν Διονυσίοις παρῆλθε τὸ δρᾶμα. καὶ γὰρ ἐν τοῖς Διονυσιακοῖς ἀγῶσι τὰ δράματα ἤγετο καὶ ἐδιδάσκετο. — τὸν Διόνυσον : Συνίζησις. *Vict.*]

520. [οὕτω νικήσαιμ' ἔγωγε : Διπλῆ εἴσθεσις εἰς τὴν παράβασιν. οὐχ ἡ αὐτὴ δέ ἐστιν, οὐδὲ τοῦ αὐτοῦ μέτρου τῇ ἐν ταῖς Νεφέλαις πρώταις, ἀλλ' ὡς ὀλίγῳ πρότερον εἴρηται, τοῦ καλουμένου Εὐπολιδείου.]

523. ἀναγεῦσ' ὑμᾶς : Ἀντὶ τοῦ διδάξαι τὸ δρᾶμα. ὡς ἐπὶ βρωμάτων δὲ λέγει. — ἀναγεῦσαι : Δεῖξαι ὑμῖν ταύτην. *LB.* ἠξίωσα : Ἀξίους ἔκρινα τῆς κωμῳδίας ἐκείνης. ἀναγεῦσαι : Φαγεῖν. ἣ παρέσχε μοι : Εἰς ἣν πολλὰ ἐμόγησα. *Vict.* ἥτις. πόνον. R.

524. [ὑπ' ἀνδρῶν : Τῶν κριτῶν. τοῦτο ἐπὶ τῶν προτέρων Νεφελῶν.] — ἀνδρῶν φορτικῶν : Βασκάνων, κριτῶν. *Vict.*

525. [ταῦτ' οὖν ὑμῖν μέμφομαι : Ἐπεὶ οὐ Κρατίνου, ἀλλ' Ἀμειψίου δεύτερος ὤφθη.]

528. [οἷς ἡδὺ καὶ λέγειν : Ἀντὶ τοῦ ἐλλογίμοις ἢ οἷς ἐπιδείκνυσθαι ἡδύ ἐστιν.]

529. σώφρων τε χὠ : Πρῶτον δρᾶμα γράψας ἐξέθηκεν ὁ ποιητὴς τοὺς Δαιταλεῖς, ἐν ᾧ σῶφρον μειράκιον εἰσάγει καὶ ἕτερον ἄχρηστον. ηὐδοκίμησε δὲ σφόδρα ἐν τούτῳ τῷ δράματι. — καταπύγων : Κίναιδος, ἀσελγής. δα... νος μαλακός. *Vict.*

ἄριστ' ἠκουσάτην : Ἀντὶ τοῦ ηὐδοκίμησαν. οὐ γὰρ ἐνίκησαν, ἐπεὶ δεύτερος ἐκρίθη ἐν τῷ δράματι. [διόπερ

ἐστὶ μὲν αὐτὸ πρῶτον τῶν δραμάτων, ὑπὸ δὲ αἰδοῦς οὐ δι᾽ ἑαυτοῦ ἐπεδείξατο αὐτό.]]

530. κοὐκ ἐξῆν πώ μοι : Οὔπω ἐπέτρεπον ἐμαυτῷ τὸ λέγειν διὰ τὴν αἰδῶ. οὐ γὰρ δι᾽ ἑαυτοῦ ἐξ ἀρχῆς καθῆκε τὰ δράματα ὁ ποιητής, εὐλαβὴς ὤν. ἀπὸ δὲ τῶν Ἱππέων ἤρξατο δι᾽ ἑαυτοῦ εἰσιέναι.

531. [[ἐξέθηκα : Ἀπὸ μεταφορᾶς τῶν λάθρα τικτουσῶν καὶ φοβουμένων γνωσθῆναι γυναικῶν, καὶ διὰ τοῦτο ἔξω ῥιπτουσῶν τὰ βρέφη, ἵν᾽ ἰδών τις ἀνέλοιτο. Εὐριπίδης [Phœn. 25]

δίδωσι βουκόλοισιν ἐκθεῖναι βρέφος.

λέγει οὖν Ἀριστοφάνης, ὡς ἐπειδὴ παρανόμως ταύτην τὴν κωμῳδίαν ἔτεκον, ὥσπερ τι βρέφος ἔξω ἔρριψα.]]

παῖς δ᾽ ἑτέρα : Φιλωνίδης καὶ Καλλίστρατος. ἐπεὶ οὐ δι᾽ ἑαυτοῦ ἐδίδαξε τοὺς Δαιταλεῖς, πρῶτον αὐτοῦ δρᾶμα. [[τὸ δέ, ἀνείλετο λαβοῦσα, ἢ ἐκ παραλλήλου ὡς τό, « ἁγνεύσας ἐκάθηρεν· » ἢ τὸ μὲν λαβοῦσα, διὰ τὴν ἐκ τῆς γῆς ὑπὸ τῶν χειρῶν ἄρσιν, τὸ δὲ ἀνείλετο διὰ τὴν ἀναδοχὴν καὶ εἰσποίησιν. — δηλονότι ὁ Φιλωνίδης καὶ ὁ Καλλίστρατος, οἱ ὕστερον γενόμενοι ὑποκριταὶ τοῦ Ἀριστοφάνους. Br. ἀνείλετο : Ἀνεδέξατο. *Vict.*]]

532. ἐξεθρέψατε : Ἄριστον καὶ καλὸν ἐκρίνατε. κἀπαιδεύσατε : Ἐπῃνέσατε. *Vict.*

533. πιστὰ παρ᾽ ὑμῖν : Ἐξ ἐκείνου τοῦ χρόνου φίλα μοί ἐστι τὰ πρὸς ὑμᾶς καὶ πισταὶ συνθῆκαι. R. V. — ἤγουν μεγάλη πίστις ἐστί μοι πρὸς ὑμᾶς καὶ πληροφορία. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν τὰς φιλίας δι᾽ ὅρκου ποιούντων. Junt., Vict.

534. νῦν οὖν Ἠλέκτραν : [Παρ᾽ Αἰσχύλῳ ἐν Χοηφόροις ἡ Ἠλέκτρα ἐκ τοῦ βοστρύχου ἐπιγινώσκει τὸν Ὀρέστην ἐληλυθότα. ὥσπερ ἡ Ἠλέκτρα, φησίν, οὕτω καὶ ἡ κωμῳδία κατὰ ζήτησιν ἦλθεν τῶν θεατῶν τῶν τότε. ἐπιγνώσεται γὰρ ἐάν τι σύμβολον ἐκείνων ἴδῃ, καὶ τὸν ἔπαινον.] Αἰσχύλου φέρεται δρᾶμα Χοηφόροι, ἐν ᾧ Ἠλέκτρα παραγενομένη εἰς τὸν τάφον τοῦ πατρὸς ἐκ τοῦ πλοκάμου τὸν ἀδελφὸν ἐγνώρισεν. καὶ ἡ κωμῳδία αὕτη τοὺς θεατὰς ἐκείνης τῆς κωμῳδίας, ἀδελφὴ αὐτῆς οὖσα, ἐπιγνώσεται, ἐὰν ἴδῃ. [[ἡ Χρυσόθεμις ἀπελθοῦσα θῦσαι τῷ πατρί, καὶ τὸν Ὀρέστου πλόκαμον ἐνταῦθα εὑροῦσα, εἶπε τοῦτο τῇ Ἠλέκτρᾳ. ἡ δὲ ἀπελθοῦσα ἐγνώρισεν αὐτὸν ὄντα Ὀρέστου· εἰ καὶ Σοφοκλῆς τοῦτο οὐ λέγει. λέγει οὖν ὁ ποιητής, ὅτι, εἰ ἐπαινεθήσεται παρ᾽ ὑμῶν ἡ νῦν κωμῳδία, γνώσεται ὅτι ὑμεῖς ἐστὲ οἱ καὶ τὴν πάλαι αὐτῆς ἀδελφὴν ἐπαινέσαντες. Junt.]]

535. θεαταῖς οὕτω σοφοῖς : Ἤγουν καθὼς εἰς τὸ δρᾶμα ἐκεῖνον ἐφάνητε. *Vict.*

536. [[τἀδελφοῦ τὸν βόστρυχον : Ὅ ἐστι σύμβολον καὶ ἔπαινον ἐκείνων ἐπιγνώσεται, ἐὰν ἴδῃ.

538. οὐδὲν ἦλθε : Παρέλκει τὸ δεν· ὡς καὶ παρ᾽ Ὁμήρῳ « οὐδὲν ἔτισε. » θέλει δὲ εἰπεῖν, οὐκ ἦλθε συνήθως.]]

σκύτινον : Εἰσῄεσαν γὰρ οἱ κωμικοὶ διεζωσμένοι δερμάτινα αἰδοῖα γελοίου χάριν. [[θέλει δὲ εἰπεῖν αὐτοὺς φορτικῶς χαριεντιζομένους. — σκύτινον : Δερμάτινον ἱμάτιον μακρόν, καθώς τινες ἕτεροι κωμικοὶ ποιοῦσιν. *Vict.*]]

539. ἐρυθρὸν : Διχῶς. ἔδει γὰρ εἰπεῖν ἢ ἐρυθρὸν ἐξ ἄκρου, ἢ ἐξ ἄκρου παχύ. τοιαῦτα γὰρ οἱ κωμικοὶ πρὸς γέλωτα ἐποίουν.

540. ἔσκωψα τοὺς φαλακροὺς : Τοῦτο διὰ τὸν Εὔπολιν. Br.

οὐ κόρδαχ᾽ εἵλκυσε : [[Τρία εἴδη ὀρχήσεως· ἐμμέλεια μὲν τραγική, σίκυνις σατυρική, κόρδαξ κωμική, ἥτις αἰσχρῶς κινεῖ τὴν ὀσφῦν.]] ἔστι δὲ ὀρχήσεως κωμικῆς εἶδος ἀσχήμονος. εἰσὶ δὲ τρία εἴδη ὀρχήσεως· ἐμμέλεια μὲν τραγικῆς, σικιννὶς δὲ σατυρικῆς, κόρδαξ δὲ κωμικῆς. R. V. κόρδακα τὸ λεγόμενον ἰδιωτικῶς καρυδᾶν λέγει. τὸ δὲ εἵλκυσεν ἀντὶ τοῦ ἐσώτερον εἰσήγαγε νοεῖ. Br. τὸν λεγόμενον ἰδιωτικῶς καριδᾶν λέγει. τὸ δὲ εἵλκυσεν ἀντὶ τοῦ ἐν τῷ θεάτρῳ εἰσήγαγε νόει. Br. κόρδαχ᾽ εἵλκυσεν : Ἀσεμνῶς ὠρχήσατο. *Vict.* τρία εἴδη ὀρχήσεως, ὡς καὶ Ἡσύχιος ὁ ἰλούστριος φησίν, ἐμμέλεια, κτλ. Cant. 2.

541. [[οὐδὲ πρεσβύτης ὁ λέγων : Ὡς Εὔπολις ἐν τοῖς Προσπαλτίοις. ἢ ὡς εἰς τοῦτο τὸ μέρος εὐεπίφορον ὄντα τὸν Ἕρμιππον.]]

542. τύπτει τὸν παρόντ᾽ ἀφανίζων : Τοῦτο εἰς Ἕρμωνα λέγει τὸν ὑποκριτήν. καὶ γὰρ ἐκεῖνος τοῦ γελᾶν χάριν τοὺς ἐγγὺς ἑστῶτας ἔτυπτε τῇ βακτηρίᾳ. — ἀφανίζων πονηρὰ σκώμματα : τὰ φαῦλα σκώμματα, ὅ ἐστι τὰς εὐτελῶς πεπλασμένας κωμῳδίας ἀφανεῖς ποιῶν, τουτέστι περικαλύπτων τῷ γέλωτι καὶ τῇ παιδιᾷ. ἢ οἷον ἐπιτρίβων τὰ σκώμματα καίπερ πονηρὰ ὄντα. R. ἐκτὸς δὲ ἑαυτοῦ ποιήσας τὰ πονηρὰ σκώμματα τούτοις τοῖς γελοίοις χρῆται. ἔδει δὲ εἰς τὸ χρήσιμον τῶν Ἀθηναίων τὰ πονηρὰ σκώμματα λέγειν, δι᾽ ὧν ἐπαιδεύοντο οἱ κακῶς πράττοντες. V. [[ἰστέον δὲ ὅτι πάντα ὅσα ἂν λέγῃ, εἰς ἑαυτὸν τείνει. τοὺς μὲν γὰρ φάλητας εἰσήγαγεν ἐν τῇ Λυσιστράτῃ, τὸν δὲ κόρδακα ἐν τοῖς Σφηξί, τοὺς δὲ φαλακροὺς ἐν Εἰρήνῃ, τὸν δὲ πρεσβύτην ἐν Ὄρνισι, τὰς δὲ δᾷδας καὶ τὸ ἰοὺ ἰοὺ ἐν Νεφέλαις τοπρῶτον. — ἵν᾽ ᾖ γέλως : Τοῦτο φησὶ διὰ τὸν Ἕρμιππον, καὶ τὸν Σιμέρμωνα τὸν τούτου ὑποκριτήν. Br. — οὐδὲ πρεσβύτης : Ὁ Σιμέρμων. *Cant.* 3. Σιμέρμων τις ἕτερος κωμικὸς ἔν τινι αὐτοῦ δράματι εἰσῆξε πρεσβύτην τινὰ βακτηρίαν κρατοῦντα. Cant. 3.]]

543. (οὐδ᾽ εἰσῆξε δᾷδας : Οὐκ ἔστι δῆλος ἐνταῦθα τίνι παρονειδίζει· ἀλλ᾽ ἴσως ἑαυτῷ, ἐπεὶ πεποίηκεν ἐν τῷ τέλει τοῦ δράματος καιομένην τὴν διατριβὴν Σωκράτους, καί τινας τῶν φιλοσόφων λέγοντας ἰοὺ ἰού. ἐν δὲ ταῖς πρώταις Νεφέλαις τοῦτο οὐ πεποίηκε. ποιεῖ δὲ αὐτὸ μετὰ λόγου, οὗτοι δὲ ἀκαίρως.)

544. ἀλλ᾽ αὑτῇ : [[Τῇ ἐπινοίᾳ τῆς ὑποθέσεως καὶ οἰκονομίᾳ καὶ τῇ χάριτι τῶν ἐπῶν θαρροῦσα.]] τοῖς ἔπεσιν, τοῖς μέτροις. ὅτι καὶ τὰ μέτρα ἔπη καλοῦσι. R. πιστεύουσα : Θαρροῦσα. ἐλήλυθεν : Εἰς τὸ θέατρον. *Vict.*

545. (οὐ κομῶ : Ἀντὶ τοῦ οὐ μέγα φρονῶ οὐδὲ σεμνύνομαι. χαριέντως δὲ λέγει, ἐπεὶ φαλακρὸς ἦν.) — κομῶ : Ἐπαίρομαι. *Vict.*

546. (δὶς καὶ τρὶς : Καίτοι καὶ αὕτη δευτέρα εἰσήχθη, ἀλλ' ἴσως διάφορος. δοκοῦσι δὲ οἱ πολλοὶ κωμικοὶ ἀπὸ τῶν αὐτῶν λημμάτων τὰ αὐτὰ εἰσάγειν δράματα.)

547. καινὰς : Ἀντὶ τοῦ νέας καὶ οὐ τὰς αὐτὰς πάλιν. R. νέας. σοφίζομαι : Σοφὸς φαίνομαι, ἢ μηχανῶμαι. *Vict.*

549. ὅς μέγιστον ὄντα : Ὁ Κλέων ἀποθνήσκει ἐπὶ Ἀμεινίου. (πρὸ τούτου δέ ἐστιν Ἴσαρχος, ἐφ' οὗ αἱ πρῶται Νεφέλαι εἰσήχθησαν. ὁ μέντοι Ἀνδροτίων ἐπὶ Ἀλκαίου φησὶ τοῦ μετὰ Ἀμεινίαν τὸν Κλέωνα τελευτῆσαι δυσὶν ἔτεσιν ὕστερον τῆς τῶν Νεφελῶν διδασκαλίας.) εἰκότως οὖν ὡς ἔτι περιόντι τῷ Κλέωνι λοιδορεῖται ὁ Ἀριστοφάνης οὐ μόνον ἐν τοῖς προκειμένοις, ἀλλὰ καὶ ἐν τοῖς ἑξῆς « ἢν Κλέωνα τὸν λάρον δώρων ἑλόντες καὶ κλοπῆς. » [ὥσπερ ζῶντος αὐτοῦ διαλέγεται ἐν οἷς φησι « Κλέωνα τὸν λάρον. » καὶ Ἀνδροτίων δέ φησιν αὐτὸν ἐπὶ Ἀλκαίου τεθνάναι δυσὶν ἔτεσιν ὕστερον Ἰσάρχου, ἐφ' οὗ αἱ πρῶται Νεφέλαι ἐδιδάχθησαν. πῶς οὖν δύναται καὶ τοῦ Μαρικοῦ μεμνῆσθαι, ὃς ἐδιδάχθη μὲν πρὸ τῶν Νεφελῶν, ὡς καὶ νῦν αὐτός φησιν; ἐκεῖ δὲ ὁ Εὔπολις ὡς τεθνηκότος Κλέωνος μέμνηται. ἢ ἐπεὶ οὐ φέρονται αἱ διδασκαλίαι τῶν δευτέρων Νεφελῶν, οὐδὲν δυνάμεθα διαρθρῶσαι, εἰ Εὔπολις ἐπλάσατο τὴν Κλέωνος τελευτὴν ἐν Μαρικᾷ.]

[ἔπαισ' ἐς τὴν γαστέρα : Ἔτυψα. ἔγραψε γὰρ κατ' αὐτοῦ τοὺς Ἱππέας. — ἔπαισα : Ἔτυψα, ἢ ὅτι γαστρίμαργος ἦν, ἢ διὰ τὸ σφετερίζεσθαι πολλὰ τῶν κοινῶν. *Vict.*]

550. κοὐκ ἐτόλμησ' αὖτις : Ἀντὶ τοῦ ἠρκέσθην τῇ μιᾷ κωμῳδίᾳ.

ἐπεμπήδησα : Δεύτερον ἐκωμῴδησα. *Vict.*

551. λαβὴν : Ἀρχήν. R. ἀφορμὴν μέμψεως. *Vict.*

552. κολετρῶσ' ἀεὶ : Ἀντὶ τοῦ κατὰ κόλου τύπτουσιν. ἀντὶ τοῦ καταπατοῦσιν, ἀπὸ τῶν τὰς ἐλαίας καταπατούντων. οἱ δὲ τὸ ἐνάλλεσθαι τῇ κοιλίᾳ [καὶ τύπτειν εἰς τὴν γαστέρα. κόλον γὰρ τὸ παχὺ ἔντερον]. δῆλον δὲ ὅτι πρότερος ὁ Μαρικᾶς ἐδιδάχθη τῶν δευτέρων Νεφελῶν. [Ἐρατοσθένης δέ φησι Καλλίμαχον ἐγκαλεῖν ταῖς διδασκαλίαις, ὅτι φέρουσιν ὕστερον τρίτῳ ἔτει τὸν Μαρικᾶν τῶν Νεφελῶν, σαφῶς ἐνταῦθα εἰρημένου ὅτι πρότερον καθεῖται. λανθάνει δ' αὐτόν, φησίν, ὅτι ἐν μὲν ταῖς διδαχθείσαις οὐδὲν τοιοῦτον εἴρηκεν, ἐν δὲ ταῖς ὕστερον διασκευασθείσαις εἰ λέγεται, οὐδὲν ἄτοπον. αἱ διδασκαλίαι δὲ δῆλον ὅτι τὰς διδαχθείσας φέρουσι. πῶς δ' οὐ συνεῖδεν ὅτι καὶ ἐν τῷ Μαρικᾷ προτετελεύτηκε Κλέων, ἐν δὲ ταῖς Νεφέλαις [581] λέγεται

εἶτα τὸν θεοῖσιν ἐχθρὸν βυρσοδέψην.]

κολετρῶσ' : Ὑβρίζουσι. *Br.* ὃ φασὶν ἰδιωτικῶς κλοτζοκοποῦσι (τζαλαπατοῦσι *D.* κλοτζοκουποῦσιν *E.*). *C.*

553. τὸ δρᾶμα ἐν ᾧ τὸν Ὑπέρβολον Εὔπολις ἐκωμῴδει Μαρικᾶς ἐκαλεῖτο, Cant. 2. παρείλκυσεν : Εἰς τὸ θέατρον εἰσήγαγεν. *Br.*, *Vict.*

554. ἐκστρέψας : Ἅπαντα τὰ ἐμά, φησίν, ἔλαβε, προσθεὶς γραῦν μεθύσην, τὴν δοκοῦσαν μητέρα εἶναι τοῦ Ὑπερβόλου. [Εὔπολις δὲ ἐν τοῖς Βάπταις τοὐναντίον φησίν, ὅτι συνεποίησεν Ἀριστοφάνει τοὺς Ἱππεῖς. λέγει δὲ τὴν τελευταίαν παράβασιν. φησὶ δὲ « κἀκείνους τοὺς Ἱππέας | ξυνεποίησα τῷ φαλακρῷ τούτῳ κἀδωρησάμην. »] — ἐκστρέψας — κακῶς : συλήσας. *V.* μεταβαλών. *Vict.*

555. γραῦν μεθύσην : Τὴν μητέρα Ὑπερβόλου. ἣν : Γραῦν. *Vict.*

556. [ἣν Φρύνιχος : Κωμῳδεῖται ποιητὴς ὁ Φρύνιχος, ὃς εἰσήγαγε γραῦν ἐσθιομένην ὑπὸ κήτους κατὰ μίμησιν Ἀνδρομέδας, διὰ γέλωτα τῶν θεωμένων. ἴσως δὲ νῦν ἐν ὑπερβολῇ, αὐτὴν τὸ κῆτος ἤσθιεν.]

557. εἶθ' Ἕρμιππος : Ἕρμιππος μὲν δρᾶμα οὐκ ἐποίησεν εἰς Ὑπέρβολον. ἔοικε δὲ τὰ εἰς τὰς Ἀρτοπώλιδας λεχθέντα κατ' αὐτοῦ σημαίνειν.

558. ἐρείδουσιν : Καὶ γὰρ Πλάτων ὅλον δρᾶμα ἔγραψεν εἰς Ὑπέρβολον. *R. V.* ἑδραιοῦσι τὰς ἑαυτῶν κωμῳδίας. *Vict.*

(559). τῶν ἐγχέλεων : Ἀντὶ τοῦ τῶν λέξεων εἰπεῖν, ἐγχέλεων ἔφη, παρόσον ἐν τοῖς Ἱππεῦσιν [864] ἐμνήσθη τῶν ἐγχέλεων,

ὅπερ γὰρ οἱ τὰς ἐγχέλεις θηρώμενοι πέπονθας.

[τὸ δὲ διὰ παραβολῆς εἰκάζειν τῆς πόλεως τὰ πράγματα ἐξ αὐτοῦ φησιν εἰληφέναι τοὺς ἄλλους ὁ Ἀριστοφάνης.]

560. τούτοισι γελᾷ : Οἷον, εἴ τις ἐκείνοις τέρπεται καὶ ἡδέως ἀκούει, τοῖς ἐμοῖς μὴ προσίτω. — ἥδεται. *Vict.*

561. εὑρήμασι : Νοήμασι καὶ ποιήμασι. *Vict.*

562. εὖ φρονεῖν : Παρ' ὑπόνοιαν. δέον γὰρ εἰπεῖν, ἐλεύσεσθε, ἐπήνεγκεν, ὅτι φρόνιμοι δόξετε εἶναι καὶ εὔνοί μοι καὶ εὖ φρονοῦντές μοι. [διὸ ἐπισημειοῦσθαι τὴν λέξιν ἔδει τὸ χ.] — ἐς τὰς ὥρας τὰς ἑτέρας : Εἰς τοὺς μετὰ ταῦτα ἐνιαυτούς. *Vict.*

563. [ὑψιμέδοντα μὲν : Τοῦτο ᾠδὴ καὶ στροφὴ ὀνομάζεται, διὰ τὸ στροφήν τινα ποιεῖσθαι τὸν χορὸν ἀπὸ τοῦ πρὸς τοὺς θεατὰς ὁρᾶν καὶ ᾄδειν, εἰς ἕτερον ἀφορῶντα μέρος. ἔστι δὲ ὡς ἐπιτοπλεῖστον εἰς θεοὺς ἡ ᾠδή. ἔστι δὲ ἡ παροῦσα στροφὴ κώλων ιϛ'. ὧν τὸ πρῶτον χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐπιμεμιγμένον διιάμβῳ. τὸ β' ὅμοιον. τὸ τρίτον δίμετρον καταληκτικὸν, ἐπιμεμιγμένον βακχείῳ, ὃ καλεῖται ἑφθημιμερές. τὸ τέταρτον καὶ τὸ πέμπτον τῷ πρώτῳ ὅμοια. τὸ ἕκτον τρίμετρον ἐκ διιάμβου, χοριάμβου καὶ βακχείου. τὸ ἕβδομον δακτυλικὸν τετράμετρον. τὸ ὄγδοον δακτυλικὸν πεντάμετρον. τὸ ἔνατον δίμετρον, ἐξ ἐπιτρίτου τρίτου καὶ χοριάμβου. τὸ δέκατον ὅμοιον, ἐκ δισπονδείου καὶ χοριάμβου, ἢ δακτυλικὸν ἑφθημιμερές, τῆς σι ἀντὶ μακρᾶς λογιζομένης. τὸ ἑνδέκατον ἀντισπαστικὸν δίμε-

τρον ἀκατάληκτον, τὸ καλούμενον Γλυκώνειον, ἐκ διτροχαίου καὶ διιάμβου, ὡς ἔχει τὰ Γλύκωνος

κάπρος ἠνίχ᾽ ὁ μαινόλης
Κύπριδος θάλος ὤλεσε.

τὸ δυοκαιδέκατον ἀντισπαστικὸν δίμετρον καταληκτικὸν, τὸ καλούμενον Φερεκράτειον ἑφθημιμερὲς, ἐξ ἐπιτρίτου τετάρτου καὶ βακχείου, ὡς ἔχει τὰ Φερεκράτους

ἄνδρες πρόσχετε τὸν νοῦν
ἐξευρήματι καινῷ,
συμπτύκτοις ἀναπαίστοις.

καλεῖται δὲ ταῦτα πολυσχημάτιστα, διὰ τὸ διάφορα δέχεσθαι μέτρα. ἐπὶ τῷ τέλει παράγραφος [καὶ διπλῆ ἔσω νενευκυῖα *Junt.*], δηλοῦσα ἔχειν ἀνταπόδοσιν. — ὕμνος εἰς τοὺς θεοὺς ἀπὸ χοροῦ. *Vict.*]

564. [Ἄλλως. τὸν Δία ἐπικαλοῦνται, ὃν οἱ φιλόσοφοι εἶναι οὐκ ἔφασκον, ἀλλὰ ταύτας εἶναι τὸ πᾶν διεβεβαιοῦντο. εἰκότως οὖν καὶ διὰ τούτων σκώπτει τοὺς φιλοσόφους. ὃν γὰρ εἶναι οὐκ ἐδόξαζον, αἱ νομιζόμεναι ὑπ᾽ αὐτῶν Νεφέλαι τοῦτον ἐπικαλοῦνται. — Ζῆνα : Τὸν Δία. χορὸν : Ἤτοι εἰς ἡμᾶς ἐλθεῖν. *Vict.*]

565. κικλήσκω : Ἀπὸ τοῦ κλῶ τοῦ σημαίνοντος τὸ καλῶ γέγονε κλήσω ὁ μέλλων, καὶ πλεονασμῷ τοῦ κ καὶ ἀναδιπλασιασμῷ κικλήσκω, ὡς τρώσω τιτρώσκω. *Vict.*

566. τόν τε μεγασθενῆ : Ἔθος τοῖς ποιηταῖς τὴν ἀρχὴν τῶν ποιημάτων ἀπὸ τοῦ Διὸς ποιεῖν. ἐν πρώτοις οὖν, φησὶ, τὸν Δία ὑμνήσωμεν, μετὰ δὲ τοῦτον τὸν Ποσειδῶνα, καὶ αὐτὸς τὴν Ὁμηρικὴν τάξιν τῆς ἡλικίας δηλῶν.

[ταμίαν : Ἤγουν φύλακα. τὸν Ποσειδῶνα φησὶν, ὃς τούς τε σεισμοὺς καὶ τὰς ἐν θαλάσσῃ τρικυμίας ποιεῖ· τὰς μὲν, ὡς κύριος ὢν τῶν ἀνέμων· σείει δὲ τὴν γῆν διὰ τῶν αὐτῶν τούτων ἀνέμων, εἰσιόντων εἰς τοὺς ἀδήλους πόρους αὐτῆς. Br. ταμίαν : Φύλακα. *Vict.*]

567. γῆς τε καὶ ἁλμυρᾶς : Δοκεῖ γὰρ ὁ Ποσειδῶν οὐ τὴν θάλασσαν κινεῖν μόνον, ἀλλὰ καὶ τὴν γῆν. καλῶς δὲ μετὰ τὸν Δία τὸν Ποσειδῶνα πεποίηκεν ὑμνούσας τὰς Νεφέλας· ἔχει γὰρ καὶ οὗτος κοινωνίαν τινὰ πρὸς αὐτὰς, τῆς ὑγρᾶς οὐσίας δεσπόζων.

568. ἄγριον : Ἰσχυρότατον. μοχλευτήν : Κινητήν. *Vict.*

569. μεγαλώνυμον : Μεγαλόδοξον· ἐν τούτῳ γὰρ αἱ νεφέλαι συνίστανται. *Vict.*

570. Αἰθέρα : τὸν ἀέρα λέγει· ὁ γὰρ αἰθὴρ ἀνέφελος, καὶ βιοθρέμμων ὁ ἀὴρ, οὐχ ὁ αἰθήρ· καὶ τὰ ζῷα ἐν τῷ ἀέρι ἔχει τὸ ζῆν. V. R. [ἀντὶ τοῦ ἀέρα· ὁ γὰρ αἰθὴρ διακαὴς ὢν ἀνέφελός ἐστι. καὶ ἐκ τοῦ βιοθρέμμονος δῆλον ὅτι ἀὴρ, οὐχὶ αἰθήρ. ἢ ἐπειδὴ τὰ ζῷα ἐν τῷ ἀέρι ἔχει τὴν ζωήν. βιοθρέμμονα δὲ, ἐπειδὴ ἀρδεύει τὴν γῆν.]

βιοθρέμμονα : Τὸν βίου καὶ ζωῆς παρεκτικόν. *Vict.*

571. τόν θ᾽ ἱππονώμαν : Τὸν ἥλιον, (τὸν ἐλαύνοντα καὶ νωμῶντα τὸ ἅρμα, καὶ τοὺς ἵππους ἡνιοχοῦντα). εἰκότως δὲ τῶν θεῶν τούτων ἐμνημόνευσεν, ἐπειδὴ αἱ νεφέλαι ἐξ αὐτῶν συνεστάναι δοκοῦσιν· ἀπὸ μὲν Διὸς ὅτι γενάρχης, ἀπὸ Ποσειδῶνος, ὅτι τῆς ὑγρᾶς οὐσίας δεσπότης, ἀπὸ δὲ Ἡλίου, ὅτι δοκεῖ διάπυρος ὢν ἕλκειν εἰς ἑαυτὸν τὴν τῆς θαλάσσης ὑγρότητα, ἐξ ἧς αἱ νεφέλαι. — τὸν ἵππους κινοῦντα ἥλιον. *E.* τὸν ἥλιον τὸν τοὺς ἵππους κινοῦντα. *Vict.*

573. πέδον : Ἔδαφος. *Vict.*

575. [ὦ σοφώτατοι θεαταὶ : Τοῦτο ἐπίρρημα ὀνομάζεται, διὰ τὸ ἐπιρρέπειν αὖθις τὸν χορὸν πρὸς τοὺς θεατὰς, καὶ χρηστά τινα συμβουλεύειν αὐτοῖς, ἢ σκώπτειν τοὺς πονηρούς. ἔστι δὲ ἐκ στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν, ὧν τελευταῖος

ἐπὶ τὸ βέλτιον τὸ πρᾶγμα τῇ πόλει συνοίσεται.

ἐπὶ τῷ τέλει διπλῆ ἔσω νενευκυῖα, δηλοῦσα ἔχειν ἀνταπόδοσιν.]

580. μηδενὶ ξὺν νῷ : Μηδεμιᾷ διανοίᾳ γινομένῃ καὶ κρίσει, ἀλλ᾽ ἀσυμφόρως καὶ ἀκαίρως καὶ μετὰ μηδενὸς λογισμοῦ, οἷον προπετῶς. [ἐκ τῶν πρώτων δὲ Νεφελῶν ἐστι ταῦτα. τεθνεὼς γὰρ ἦν νῦν ὁ Κλέων.]

βροντῶμεν ἢ ψεκάζομεν : Δῆλον ἐντεῦθεν ποιοῦσαι, ὡς οὐκ ἀποδεχόμεθα ταύτην, ὡς ἀλυσιτελῆ τῆς πόλεως. *Br.*

581. βυρσοδέψην : Σκυτοτόμον τὸν τὰς βύρσας θεραπεύοντα καὶ μαλάσσοντα καὶ ἐμβρέχοντα. *Vict.*

582. τὰς ὀφρῦς συνήγομεν : Συννέφειαν ἐποιήσαμεν καὶ ἐχαλεπαίνομεν ἢ ἐστυγνάζομεν. [Ἄλλως. ἐπεὶ ὁ Κλέων τοιοῦτος. εἶπε δὲ ἀνωτέρω, ὅτι πάντας μιμοῦνται.]

583. (βροντὴ δ᾽ ἐρράγη : Παρὰ τὰ ἐν Τεύκρῳ Σοφοκλέους

οὐρανοῦ δ᾽ ἄπο
ἤστραψε, βροντὴ δ᾽ ἐρράγη δι᾽ ἀστραπῆς.)

584. (ἡ Σελήνη δ᾽ ἐξέλιπεν : Ἐπειδὴ ἔκλειψις ἐγένετο σελήνης τῷ προτέρῳ (τῷ β′ V.) ἔτει ἐπὶ Στρατοκλέους βοηδρομιῶνι.)

585. τὴν θρυαλλίδα : Τουτέστι τὰς ἀκτῖνας εἰς ἑαυτὸν συνέστειλεν. ἔκλειψις γὰρ ἡλίου ἐγένετο κατά τινα τύχην, Κλέωνος χειροτονουμένου. (ἀπὸ τῶν λύχνων ἡ μεταφορά. φησὶ δὲ οὐχ ὡς τοῦ ἡλίου ἐκλείψαντος, ἀλλ᾽ ὡς ἀπειλοῦντος ἐκλείψειν, εἰ στρατηγήσει Κλέων. τοῦτο δὲ) παρὰ τὸ Ὁμηρικὸν [Od. M, 383]

δύσομαι εἰς Ἀΐδαο, καὶ ἐν νεκύεσσι φαείνω.

(587). δυσβουλίαν : Τὴν οὐκ ὀρθῶς βουλήν. ἀποτυχόντος, φασὶ, Ποσειδῶνος τῆς χώρας, τὸ κακῶς βουλεύεσθαι Ἀθηναίοις ἤσκητο· τὴν δὲ Ἀθηνᾶν παρασχεῖν δωρεὰν τὸ κακῶς βουλευθὲν ἀποκλῖναι καλῶς. καὶ ἦν τοῦτο λεγόμενον ἐπιχώριον. καὶ Εὔπολις

ὦ πόλις πόλις,
ὡς εὐτυχὴς εἶ μᾶλλον ἢ καλῶς φρονεῖς.

[Ἄλλως. φασὶν ὅτι Ποσειδῶν ἡττηθεὶς τῇ Ἀθηνᾷ δυσ-

βουλίαν ἐπέβαλεν Ἀθηναίοις, Ἀθηνᾶν δὲ τὰ βουλευόμενα καλῶς μεταβάλλειν.]

589. ἅττ' ἂν ὑμεῖς : Ὅσα οἱ Ἀθηναῖοι κακῶς ἐβουλεύσαντο, δι' ὑπερβάλλουσαν εὐτυχίαν εἰς τὸ χρήσιμον ἀπέβαινε καὶ εἰς τὸ καλόν. [αἰνίττεται δὲ εἰς Ἀθηνᾶν.]

590. ξυνοίσει : Λυσιτελήσει, ὠφελήσει. *Br.*

591. τὸ λάρον : Τὸν ἁρπακτικὸν, ὅτι καὶ ὁ λάρος τοιοῦτος. καὶ ἐν Ἱππεῦσι [956]

> λάρος κεχηνὼς ἐπὶ πέτρας δημηγορῶν.

[ταῦτα δὲ ἀπὸ τῶν προτέρων Νεφελῶν. τότε γὰρ ἔζη ὁ Κλέων. ἐπὶ δὲ τούτων τέθνηκε. καὶ γὰρ Εὔπολις μετὰ θάνατον Κλέωνος τὸν Μαρικᾶν ἐποίησεν. καὶ μὴν ὡς μετὰ θάνατον Κλέωνος φαίνεται γεγραφὼς τὸ δρᾶμα, ὅπου γε τοῦ Μαρικᾶ Εὐπόλιδος μέμνηται, ὃς ἐδιδάχθη καθ' Ὑπερβόλου μετὰ τὸν Κλέωνος θάνατον. ταῦτα δὲ ὡς ἔτι ζῶντος Κλέωνος λέγεται. δῆλον οὖν ὅτι κατὰ πολλοὺς τοὺς χρόνους διεσκεύασε τὸ δρᾶμα· καὶ ταῦτα μὲν οὐ πολλῷ ὕστερον· ἐν οἷς δὲ Εὐπόλιδος μέμνηται καὶ τῶν εἰς Ὑπέρβολον κωμῳδιῶν, πολλῷ.]

594. ξυνοίσεται : Συνδραμεῖται. *Br.*

595. μετὰ τὸν Ἥλιον τὸν Ἀπόλλωνα ὑμνεῖ. ὁ αὐτὸς δὲ Ἥλιος καὶ Ἀπόλλων. δῆλον καὶ ἐκ τοῦ αὖτε ἀντὶ τοῦ πάλιν· ὥσπερ γὰρ ἀναλαμβάνων πρὸς τὸ ἄνω λέγει. τὸ δὲ ἀμφί μοι αὖτε ἐκ τῶν Τερπάνδρου προοιμίων. καὶ γὰρ ἐκεῖνος οὕτως ἤρξατο « ἀμφί μοι αὖτις ἄνακτα. » καὶ τὸ προοιμιάζεσθαι δὲ ἀμφιανακτίζειν ἔλεγον. ἀντῳδὴ ἢ καὶ ἀντιστροφή. *R.* ἀμφί μοι ἄναξ : [Ἡ ἀντῳδὴ αὕτη καὶ ἀντιστροφὴ ὁμοία ἐστὶ τῇ ᾠδῇ καὶ στροφῇ κατά τε τὰ κῶλα καὶ τὰ μέτρα. μιμεῖται δὲ τῶν διθυράμβων τὰ προοίμια. συνεχῶς γὰρ χρῶνται ταύτῃ τῇ λέξει· διὸ καὶ ἀμφιάνακτας αὐτοὺς ἐκάλουν. ἔστι δὲ Τερπάνδρου « ἀμφ' ἐμοὶ ἄνακτα ἑκατηβόλον. » λείπει δὲ τὸ ἔσο, ἢ τὸ χόρευσον, ἤ τι τοιοῦτον. καὶ τὸ προοιμιάζεσθαι δὲ ἀμφιανακτίζειν ἔλεγον. εἰκότως δὲ μετὰ τὸν Ἥλιον ἀνυμνοῦσι τὸν Ἀπόλλωνα. ὅτι δὲ ὁ αὐτός ἐστιν Ἥλιος καὶ Ἀπόλλων, δῆλον. τὸ δὲ αὖτε, ἀντὶ τοῦ πάλιν. ὥσπερ γὰρ ἀναλαμβάνων πρὸς τὸ ἄνω λέγει ἀντίστροφον.] (ἔφαμεν γὰρ ἐν τοῖς χορικοῖς γίνεσθαι τὰς στροφὰς καὶ τὰς ἀντιστρόφους καὶ τὰς ἐπῳδούς, ἅ τινες καλοῦσιν ἐπιρρήματα. κἀνταῦθα οὖν τὴν ἀντίστροφον ἐπήγαγεν ὁ ποιητής, ὥσπερ ἀναστρέφων ἐπὶ τὸ ἐξ ἀρχῆς μέλος, ὅθενπερ ἐξετράπη εἰς τὸ ἐπίρρημα. ἀρξάμενος γὰρ ὑμνεῖν τοὺς θεοὺς καὶ παραγενόμενος μέχρι τοῦ Ἡλίου, ἐπήγαγε τὴν ἐκτροπὴν, τουτέστι τὸ ἐπίρρημα. ἀπὸ τοῦ « ὦ σοφώτατοι θεαταί, δεῦρο τὸν νοῦν προσέχετε. » οὔτε γὰρ ἡ διάνοια τοῖς προειρημένοις ἀκόλουθος οὔτε τὸ μέτρον τοῦ λόγου. πάλιν οὖν ἐπανατρέχων ἐπὶ τὸν ὕμνον, τῇ τῶν θεῶν χρῆται ἐπαναστροφῇ. εἰ οὖν τις τὰ ἐν μέσῳ ἅπαντα ὑφελὼν ἐπὶ ταῦτα ἔλθοι, οὐδὲν ἂν οὔτε ὁ λόγος οὔτε ὁ νοῦς ἐπιζητήσειεν, ἀλλὰ μᾶλλον ἡ ἀκολουθία οὕτω φυλάττοιτο, τόν θ' ἱππονώμαν, ὃς ὑπερλάμπροις ἀκτῖσι, καὶ τὰ ἑξῆς, ἀμφί μοι αὖτε Φοῖβ' ἄναξ. φησὶν οὖν, ἀλλὰ σου πάλιν, ὦ Ἄπολλον, ἕξομαι, καὶ τῶν σῶν ἐπαίνων. οὐ μὴν ἁπλῶς ἐπὶ τὴν ἀντίστροφον ἐλθὼν, θεοῦ τινος ἐμνημόνευσεν, ἀλλὰ μετὰ τὸν Ἥλιον ἑξῆς τὸν Ἀπόλλωνά φησιν, ἐπεί φασί τινες τὸν Ἥλιον τὸν αὐτὸν εἶναι τῷ Ἀπόλλωνι.) [ὅτι δὲ τῷ λόγῳ τούτῳ καὶ ὁ ποιητὴς κατακολουθῶν μετὰ τὸν Ἥλιον ἐπὶ τὸν Ἀπόλλωνος ἔρχεται ὕμνον, φανερὸν ποιεῖ αὐτὸς, λέγων, ἀμφί μοι αὖτε Φοῖβ' ἄναξ· τουτέστι πάλιν. οὐδαμοῦ γὰρ νῦν τοῦ Ἀπόλλωνος μέμνηται. τί οὖν ἔδει μνημονεῦσαι αὐτοῦ αὖτε, εἰ μὴ τῆς προειρημένης διανοίας εἴχετο; τὸ δὲ μέτρον ἀντῳδὴ καὶ ἀντιστροφή. ἔστι δὲ τὸ μέτρον καὶ ἡ ποσότης ὁμοία τῇ στροφῇ. ὡμοίωται δὲ καὶ τὸ ἐπίρρημα καὶ τὸ ἀντεπίρρημα.]

αὖτε : Πάλιν. ἤγουν ἔσο ἢ χόρευσον. *Vict.*

596. [Κυνθίαν ἔχων : Περιφραστικῶς τὴν Κύνθον. ἔστι δὲ ὄνομα ὄρους. τὸ ὑψικέρατα ἀντὶ τοῦ ὑψηλήν. μεταπλασμὸς δέ ἐστιν ἀντὶ τοῦ ὑψικέρατον.]

599. [ἥ τε Ἐφέσου : Μετὰ τὸν Ἀπόλλωνα εὐθὺς τὴν Ἄρτεμιν, ἧς ἱερὰ ἡ Ἔφεσος.] — πάγχρυσον δὲ οἶκον λέγει, τὸν πολυτελέστατον ναόν· ὃς ἦν εἷς τῶν θεαμάτων. Junt., Vict.

600. ἐν ᾧ κόραι : Ἔνθα σε αἱ Λυδῶν παρθένοι τιμῶσιν, ὦ Ἄρτεμι. (τῆς γὰρ Λυδίας τοπαλαιὸν ἡ Ἔφεσος ἦν.)

(604). σὺν πεύκαις : Μετὰ δᾳδῶν. παρὰ τὸ Εὐριπίδειον [Hypsipylæ prolog.]

> Διόνυσος, ὃς θύρσοισι καὶ νεβρῶν δοραῖς
> [καθαπτὸς ἐν πεύκαισι Παρνασὸν κάτα
> πηδᾷ χορεύων παρθένοις σὺν Δελφίσιν].

σελαγεῖ : Μετὰ λαμπάδων καὶ πυρσῶν χορεύει. διάπυρος γὰρ ὁ θεός. καὶ ὁ Ζεὺς διὰ πυρὸς τῇ Σεμέλῃ συνῆλθεν. οὐ γὰρ ἀργῶς ταῦτα ὁ ποιητὴς παρέλαβεν.

605. Βάκχαις Δελφίσι : (Ταῖς τὴν Δελφικὴν χώραν κατοικούσαις.) κἀκεῖ γὰρ ἐτιμᾶτο ὁ Διόνυσος. — ἐμπρέπων : Διαπρέπων. *Vict.*

606. [κωμαστής : Ὅτι καὶ μεθύοντες βακχεύονται, καὶ ὥσπερ ἐκμαίνονται. — τρυφῶν μετ' ᾠδῆς. *Vict.*

607. ἡνίχ' ἡμεῖς : Τὸ ἀντεπίρρημα τοῦτο ὅμοιόν ἐστι τῷ ἐπιρρήματι. [καὶ τοῦτο γὰρ ἐκ στίχων ἐστὶ τροχαϊκῶν τετραμέτρων καταληκτικῶν εἴκοσι. ἐνταῦθα μέντοι ὁ ἐπὶ τῆς τετάρτης χώρας ἴαμβος ἐξέλιπεν. ἐπὶ τῷ τέλει διπλῇ ἔξω νενευκυῖα.]

608. [ξυντυχοῦσα : Οὐκ ἔστιν ἐνταῦθα τὸ συντυχοῦσα ἀντὶ τοῦ συναντήσασα, ὥς τινες οἴονται, συντάσσοντες πρὸς τοῦτο τὸ ἡμῖν· ἀλλὰ τὸ συντυχοῦσα λέγε ἀντὶ τοῦ κατὰ τύχην φανεῖσα καὶ εὑρεθεῖσα, συντάσσων τὸ ἡμῖν πρὸς τὸ ἐπέστειλεν. ἐντυγχάνει γὰρ τῷδε ὁ δεῖνα, λέγε· συντυγχάνει δὲ, ἀντὶ τοῦ κατὰ τύχην συμβαίνει. καὶ Θουκυδίδης, « οὕτω ποι ξυντυχόν, » ἤτοι συμβάν. οἱ δὲ ἄλλως λέγοντες ἁμαρτάνουσιν. Br.]

609. πρῶτα μὲν χαίρειν : Τὸν Κλέωνά φασιν ἀπὸ τῆς Πύλου καὶ Σφακτηρίας τοῖς Ἀθηναίοις ἐπιστέλλοντα,

χαίρειν προθεῖναι· ὅθεν γέγονεν ἐν χρήσει. ⟦Πλάτων μέντοι ἐν ἀρχῇ τῶν ἐπιστολῶν τὸ εὖ πράττειν προὔθηκεν. οἱ δὲ Πυθαγόρειοι τὸ ὑγιαίνειν. [Lucianus De lapsu sal. c. 5 :] « καὶ τό γε τριπλοῦν τρίγωνον, τὸ δι' ἀλλήλων τὸ πεντάγραμμον, ᾧ συμβόλῳ πρὸς τοὺς ὁμοδόξους ἐχρῶντο, ὑγεία πρὸς αὐτῶν ὠνομάζετο. »⟧ (Ἄλλως. ἀρχαῖον ἦν ἔθος προτάσσειν ἐν ταῖς ἐπιστολαῖς χαίρειν. οὐ γὰρ, ὥς τινες, Κλέων οὕτως πρῶτος ἐπέστειλεν Ἀθηναίοις ἐκ Σφακτηρίας.)

614. φῶς Σεληναίης : Τῆς σελήνης γὰρ φαινούσης οὐχ ἅπτουσι λύχνον. R. Ἀττικῶν ἐστιν κτητικὰ λαμβάνειν ἀντὶ πρωτοτύπων, ὡς καὶ παρθενικὴ ἡ παρθένος. Vict.

615. ἄλλα τ' εὖ δρᾶν : Καὶ εἰς ἄλλα ὑμᾶς φησιν εὐεργετεῖν, οὐ παρατηρεῖν δὲ ὑμᾶς ἀκριβῶς τὰς κατὰ σελήνην ἡμέρας.

616. κυδοιδοπᾶν : Ἀντὶ τοῦ συνταράττειν, ἀπὸ τοῦ κυδοιμοῦ. (γίνεται δὲ ἐξ ἑκατέρου. ἐὰν μὲν διὰ τοῦ κ, παρὰ τὸ κυκᾶν, ἐὰν δὲ διὰ τοῦ δ, παρὰ τὸν κυδοιμόν.) ⟦ταράσσειν, ἀνατρέπειν. καὶ γὰρ ἐν τῇ πρώτῃ ἡμέρᾳ τεταγμένον ἦν τὸν Δία τιμᾶν, ἐν δὲ τῇ δευτέρᾳ τὸν Ποσειδῶνα, καὶ τοὺς ἄλλους θεοὺς καθεξῆς. οὗτοι δὲ, ὅτε ἔδει τῷ Διὶ θύειν, τῷ Ποσειδῶνι ἔθυον· ὅτε δὲ τῷ Ποσειδῶνι, ἑτέρῳ θεῷ ἔθυον. καὶ διὰ τοῦτο λέγει τὸ κυδοιδοπᾶν. *Br.* κυδοιδοπᾶν γίνεται ἀπὸ τοῦ κύδος ἀρσενικῶς, ὃ σημαίνει τὴν λοιδορίαν, καὶ τοῦ ὄψ, ὀπὸς, ἡ φωνή. γίνεται οὖν κυδοπᾶν καὶ Ἀττικῷ διπλασιασμῷ μετὰ τῆς τοῦ ι προσθήκης κυδοιδοπᾶν. κύδος γὰρ ἀρσενικῶς τὴν λοιδορίαν, ἐξ οὗ καὶ τὸ κυδάζω, τὸ λοιδορῶ, ὡς παρὰ Σοφοκλεῖ [Aj. 722]

κυδάζεται τοῖς πᾶσιν Ἀργείοις ὁμοῦ.

κύδος δὲ οὐδετέρως ἡ δόξα, ἐξ οὗ καὶ κύδιστος, ὁ ἐνδοξότατος. Vict.⟧

618. ψευσθῶσιν : Ἀποτύχωσιν, ⟦ἢ μὴ δέξωνται τὰς θυσίας εὐτάκτως⟧.

619. κατὰ λόγον τῶν ἡμερῶν : Ἀντὶ τοῦ εὐτάκτως καὶ ὡρισμένως. διὰ γὰρ τὸ πλανᾶσθαι τὴν τάξιν ⟦τῶν ἡμερῶν⟧, καὶ τὰς ἑορτὰς ὑπερβαίνειν δεήσει.

621. ἀπαστίαν : Νηστείαν (καὶ ἀγευστίαν, παρὰ τὸ πάσασθαι). — νηστείαν, ἀσιτίαν. *Br.* ἀπὸ δὲ τοῦ πενθεῖν διαβάλλει τοὺς ποιητάς. V.

622. ⟦Μέμνων δὲ καὶ Σαρπηδὼν υἱοὶ ὄντες Διὸς, ἀποθανόντες ἐν Τροίᾳ, οὕτω παρὰ θεοῖς ἐτιμήθησαν, τοῦ πατρὸς νομοθετήσαντος, ὡς τὴν ἡμέραν, καθ' ἣν ἀπέθανον, ἐν πένθει καὶ νηστείᾳ τοὺς θεοὺς διάγειν κατ' ἔτος.⟧

623. λαχὼν Ὑπέρβολος : Εἰς τὴν σύνοδον τῶν Ἀμφικτυόνων πεμφθῆναι εἰς τὴν Πυλαίαν. κατὰ πόλιν δ' ἔπεμπον τοὺς θύσοντας, καὶ συνεδρεύσοντας· καὶ ἦσαν οἱ πεμπόμενοι Πυλαγόραι καὶ ἱερομνήμονες. λέγουσι δὲ ὅτι Πυλάδης πρῶτος ἐκρίθη ἐπὶ τῷ Κλυταιμνήστρας φόνῳ, καὶ ἐξ αὐτοῦ τοὔνομα σχεῖν τὸν τόπον. ἀπήεσαν δὲ εἰς Δελφοὺς ἐπίσκοποι τῶν ἀναλισκομένων ἐν ταῖς θυσίαις. ⟦ἱερομνήμονας ἔπεμπον εἰς Πυλαίαν καὶ Πυλαγόρας. Ἀριστοφάνης Θεσμοφοριαζούσαις [fr. 306]

ἀγαθὰ μεγάλα τῇ πόλει
ἥκειν φέροντάς φασι τοὺς Πυλαγόρας
καὶ τὸν ἱερομνήμονα.

καὶ εἰσὶν οἷον ἱεροὶ γραμματεῖς. μνήμονας γὰρ τούτους ἐκάλουν. [Hom. Od. Θ, 163 :]

φόρτου τε μνήμων καὶ ἐπίσκοπος ᾖσιν ὁδαίων.⟧

624. τῆτες : Ἐν ἐκείνῳ τῷ ἔτει. R. ἐν τῷδε τῷ ἔτει. οἱ δὲ Δωριεῖς σατές φασιν. ὅθεν σατανίους πυροὺς, τοὺς μὴ τελεσφοροῦντας, ἀλλὰ πρὸ ὥρας θεριζομένους. Junt., Vict.

τῆτες ἱερομνημονεῖν : Ἐξέπεμπον γὰρ οἱ Ἀθηναῖοι εἰς Δελφοὺς ἱερομνήμονας, οἳ τῶν τοῦ θεοῦ ἱερῶν προεστήκεσαν. παρ' ἱστορίαν δὲ εἶπεν τὸ τῆτες. οὐδεὶς γὰρ ἱστορεῖ ἐν ἐκείνῳ τῷ ἔτει ἱερομνήμονα εἶναι Ὑπέρβολον, ἐν ᾧ αἱ Νεφέλαι ἐδιδάχθησαν. οὐδέπω γὰρ διέπρεπε Κλέωνος ἔτι ζῶντος. μετὰ γὰρ τὸν ἐκείνου θάνατον ἠξιώθη.

625. ⟦μᾶλλον γὰρ οὕτως εἴσεται : Τότε γὰρ μαθήσεται, ὅτι καλόν ἐστι ζῆν αὐτὸν, ὡς πρότερον, καὶ ὡς ἀνάξιος ἦν.⟧

627. μὰ τὴν ἀναπνοὴν : ⟦Ὑποχωρήσαντος τοῦ χοροῦ εἰσίασιν αὖθις οἱ ὑποκριταί. ἔστιν οὖν ἡ παροῦσα εἴσθεσις τῆς διπλῆς ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ογ', ὧν τελευταῖος

οἵαν δίκην τοῖς κόρεσι δώσω τήμερον.

ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα·⟧ πάλιν εἰς ἀθεότητα τὸν Σωκράτην διαβάλλει διὰ τῆς πολυθεΐας. δυσφορεῖ δὲ ὁ Σωκράτης ἐπὶ τῇ τοῦ Στρεψιάδου ἀμαθίᾳ. (ἐντεῦθέν φασι τὸν Ἀριστοφάνη χαριζόμενον τοῖς περὶ Ἄνυτον καὶ Μέλητον γεγραφέναι τὸ δρᾶμα, διαβάλλοντα εἰς ἀθεΐαν τὸν Σωκράτην διὰ τῆς πολυθεΐας. *** ὅτι πολὺ λείπεται τοῖς χρόνοις εἴπομεν. διαβάλλει οὖν ἁπλοϊκῶς τοὺς φιλοσόφους, ἐπεὶ καὶ ὁ Σωκράτης προεῖπε [423] μὴ ἡγεῖσθαι θεοὺς, πλὴν τὸ Χάος καὶ τὴν γλῶτταν καὶ τὸν Ἀέρα, τρία ταυτί.) — ἀναπνοὴν λέγει τὴν τοῦ ἀέρος ἀνάπνευσιν, ἣν ἀναπνέουσιν ἄνθρωποι· χάος δὲ τὸν τόπον, ἐν ᾧ ὁ ἀήρ. *Br.*

629. [σκαιὸν : Ἀντὶ τοῦ μωρόν. ἢ οὕτως. σκαιοὺς ἔλεγον τοὺς ἀμαθεῖς καὶ δυσπαρακολουθήτους.] — ἄπορον : Ἀφυῆ. σκαιὸν : Ἀπαίδευτον, φαυλόνουν. *Br.* ἀπαίδευτον. *R. V.*

630. σκαλαθύρματ' ἄττα : Λεπτὰ καὶ μικρὰ παντάπασι νοήματα καὶ μαθήματα, σκαριφήματα. (ἡ δὲ λέξις σύνθετος ἀπὸ τοῦ σκαλεύματα καὶ ἀθύρματα, οἷον παίγνια καὶ μηδενὸς ἄξια.) ⟦ἐκ τούτου δὲ διαβάλλει Σωκράτη, ὡς εὐτελῆ εἰσιν ἃ διδάσκει, καὶ οὐδενὸς ἄξια λόγου. — μικρὰ καὶ εὐτελῆ παίγνια. *Br.*⟧

633. ⟦ἔξει : Ἀντὶ τοῦ ἔξελθε. ἔστιν εἴω τὸ πορεύομαι. οὗ παράγωγον εἶμι. ὁ παρατατικὸς εἶν, εἷς, εἶ.

καὶ ὥσπερ ἐν τοῖς εἰς ω τὸ τρίτον πρόσωπον τοῦ ὁριστικοῦ παρατατικοῦ δεύτερόν ἐστι προστακτικὸν, οὕτω καὶ ἐν τοῖς εἰς μι σχηματίζουσιν οἱ Αἰολεῖς καὶ οἱ Ἀθηναῖοι. οἷον [Il. Φ, 313] « ἵστη μέγα κῦμα » ἀντὶ τοῦ ἵσταθι. Ἀριστοφάνης [Av. 1310]

καὶ τοὺς κοφίνους ἅπαντας ἐμπίμπλη πετρῶν.

ἀντὶ τοῦ ἐμπίμπληθι. οὕτως οὖν καὶ ἐκ τοῦ εἶ τρίτου προσώπου τοῦ ὁριστικοῦ παρατατικοῦ ἐν συνθέσει, ἔξει, προστακτικόν. ἢ ἀπὸ τοῦ εἴω. οὗ ὁ δεύτερος ἀόριστος ἷον, ἷες, ἷε· καὶ μετὰ τῆς ἐξ, ἔξιε, καὶ κατὰ μετάθεσιν καὶ συναίρεσιν, ἔξει. ὡσαύτως καὶ μετὰ τῶν λοιπῶν προθέσεων μέτει καὶ δίει· πλὴν τοῦ πάρει, καὶ σύνει. ἐνταῦθα γὰρ αἱ προθέσεις τῷ εἶ ἀντὶ τοῦ ὑπάρχεις συνδοιάζονται.]

ἀσκάντην δὲ τὸν σκίμποδά φησιν, ἢ δίφρου τι εἶδος· οἱ δὲ τὸν κράβατον. — τὸν σκάμνον, τὸν σκίμποδα. *Br.*

635. ἀνύσας : σπεύσας. *V.*

636. ὥσπερ ἡμεῖς ἐρωτῶμεν τοὺς παῖδας. V.

638. πότερα περὶ μέτρων : [Καλῶς διέστησεν. οὐ γὰρ εἴ τι μέτρον ἐστὶν, ἤδη καὶ ἔπος. εἴ τι δὲ ἔπος, ἤδη πάντως καὶ ῥυθμὸς καὶ μέτρον. σημειωτέον δ' ὅτι καὶ ταῦτα τῶν κυκλικῶν μαθημάτων.] διαφέρει δὲ μέτρον καὶ ῥυθμός. καὶ ὅτι πατὴρ μέτρου ὁ ῥυθμὸς, καὶ ὅτι ἀρχαία ἡ τῶν μέτρων καὶ ῥυθμῶν διδασκαλία.

639. περὶ τῶν μέτρων : (Λείπει τὸ θέλω μαθεῖν. διαβολὴ δὲ τὸ πᾶν, ὅτι τὰ μὴ οἰκεῖα τῇ τέχνῃ ἐπαγγέλλεται διδάσκειν. οὔτε γὰρ ποιητής ἐστιν οὔτε μουσικός.) ὡς ἄγροικος δὲ ὁ πρεσβύτης ἀπεκρίνατο ὡς ἐπὶ τῶν γεωργικῶν δεξάμενος. [ἀκούσας περὶ μέτρων ὁ Στρεψιάδης, τὸ δημοτικὸν μέτρον, ᾧ μετροῦσι τὰ σπέρματα, σκαιῶς ὑπείληφεν, διὸ, περὶ μέτρων, φησὶν, ἔγωγε. καὶ ἐκ τούτου διαβάλλει τὸν Σωκράτην, ὅτι τὰ μὴ οἰκεῖα τῇ τέχνῃ ἐπαγγέλλεται διδάσκειν. οὔτε γὰρ ποιητὴς ἦν οὔτε μουσοποιός. D.]

640. ἀλφιταμοιβοῦ : Τοῦ ἀντικαταλλάσσοντος καὶ πιπράσκοντος ἄλφιτα. ἢ τοῦ ἀμείβοντος ἀντὶ ἀργυρίου ἄλφιτα. [οὕτω καὶ ἀργυραμοιβοὶ οἱ ἀντὶ ἀργυρίου κέρματα ἀμείβοντες.]

(παρεκόπην : Ἐζημιώθην· ἀντὶ τοῦ ἐπλάνησέ με τῇ μέτρων ποσότητι δύο χοίνικας. — ἠπατήθην. *Vict.*)

641. κάλλιστον μέτρον : [Διαβάλλει Σωκράτη. οὐ γὰρ ποιητικὴν ἢ μουσικὴν ἐπηγγέλλετο διδάσκειν. ὁ δὲ τὰ προσόντα μὴ λέγων, χαριζόμενος δὲ τὰ μὴ προσόντα, ἀμφοτέρων ἐκεῖνος ἀποστερεῖται, ὁ τοὺς λόγους ἀμφοτέρων ἀποφαίνων ἀλλοτρίους καὶ ἀπείρους.] — εἴδη μέτρων, οἷς καὶ Ἀρχίλοχος κέχρηται ἐν τριμέτροις καὶ τετραμέτροις. R. V.

643. ἡμιεκτέου : Πρὸς τὸ τετράμετρον ἀπήντησε. τὸ γὰρ ἡμίεκτον μέτρον ἐστὶ τεσσάρων. ὁ γὰρ μέδιμνος μέτρα ἔχει μη', ὁ δὲ ἑκτεὺς η', τὸ δὲ ἡμίεκτον δ'. R. V. [Τοῦ τετραχοινίκου. ὁ γὰρ μέδιμνος χοίνικας ἔχει μη'. τούτων τὸ ἕκτον ὀκτώ. τὸ ἥμισυ τοῦ ἕκτου, τουτέστι τῶν ὀκτὼ, τὰ τέσσαρα. ὃ καλεῖται τετράμετρον. ὁ οὖν ἡμίεκτος τέσσαρας ἔχει χοίνικας. ἔπαιξε δὲ πάλιν εἰπὼν, οὐδὲν κάλλιον ἡγοῦμαι ἡμιεκτέου μέτρου· τουτέστι τεσσάρων χοινίκων. τούτου οὖν τὸ ἕκτον ἐστὶν ὀκτὼ χοίνικες. τὸ δὲ ἡμίεκτον, τουτέστι τὸ δωδέκατον τῶν ὀκτὼ πρὸς τοῖς τεσσαράκοντα, χοίνικες τέσσαρες.] (παρατηρητέον δὲ ὅτι διὰ τοῦ ε δεῖ λέγειν ἡμιεκτέον, καὶ οὐ κατὰ τὴν κοινὴν χρῆσιν ἡμιεκταῖον.)

644. περίδου νῦν ἐμοὶ : Ἀντὶ τοῦ συνθήκας ποίησον. [παρὰ τὸ Ὁμηρικὸν [Il. Φ, 485]

δεῦρό γε νῦν τρίποδος περιδώμεθα.

γίνεται δὲ οὕτω· δίδημι τὸ δεσμεύω. ὁ μέλλων διδήσω, ὁ δεύτερος ἀόριστος ἔδην, ὁ μέσος ἐδέμην ἔδεσο, καὶ ἀποβολῇ τοῦ σ ἔδεο καὶ ἔδου· καὶ τὸ προστακτικὸν δοῦ καὶ περίδου. καὶ Ὅμηρος [Il. Λ, 105] « δίδη μόσχοισι λύγοισιν. » ὡς ἄγροικος δὲ πάλιν ὁ πρεσβύτης ἀπεκρίνατο. ὁ μὲν γὰρ τὸ τῶν ποιημάτων ἔλεγε μέτρον, ὁ δὲ ὡς ἐπὶ τῶν γεωργικῶν ἐδέξατο.]

645. [εἰ μὴ τετράμετρον : Πρὸς τὸ τετράμετρον ἀπήντησε. τὸ ἡμιεκτέον μέτρον ἐστὶ τέσσαρα, ὡς πλεονάκις ἴσως τοῦ δέοντος εἴρηται.]

647. [ταχὺ δ' ἂν : Ἐν εἰρωνείᾳ. λέγει δὲ εἰς τὸ κιθαρίζειν. ταχὺ δυνηθείης, φησὶ, μεταλαμβάνειν τὸ κιθαρίζειν.]

649. κομψὸν : Πιθανὸν καὶ εὔχαριν ἐν συνόδῳ καὶ τῇ πρὸς ἑτέρους κοινωνίᾳ. [πιθανὸν καὶ ἀστεῖον φαίνεσθαι τοῖς συνοῦσιν.] — πιθανὸν καὶ ἡδύν. *Br.*

650. ἐπαΐειν : αἰσθάνεσθαι καὶ νοεῖν. R. V.

651. κατενόπλιον : Εἶδος ῥυθμοῦ πρὸς ὃν ὠρχοῦντο σείοντες τὰ ὅπλα. Ἄλλως. ἐνόπλιον, τὸν ἀμφίμακρον, ὃς καὶ Κουρητικὸς καλεῖται ἀπὸ τοῦ τὰ εἰς τοὺς Κούρητας μέλη τούτῳ τῷ μέτρῳ κεχρῆσθαι. (Ἄλλως. ἀριθμητικὸν ἢ γεωμετρικόν. ἔστι δὲ ῥυθμοῦ καὶ κρούματος εἶδος τὸ κατὰ δάκτυλον, ᾧ χρῶνται οἱ αὐληταὶ πρὸ τοῦ νόμου.) — ὁ κατὰ δάκτυλον, ῥυθμός ἐστιν ὁ ἐν ἴσῳ λόγῳ. ὁ δὲ ἐνόπλιος καὶ προσοδιακὸς λεγόμενος ὑπό τινων σύγκειται ἐκ σπονδείου καὶ πυρριχίου καὶ τροχαίου καὶ ἰάμβου. συνεμπίπτει δὲ οὗτος ἤτοι τριποδίᾳ ἀναπαιστικῇ, ἢ βάσεσι δυσὶν, Ἰωνικῇ καὶ χοριαμβικῇ.

653. τίς ἄλλος : [Τὴν παρατροπὴν ἐατέον μεταξὺ τοῖν δυοῖν, ὡς ἐν τοῖς πλείστοις σχεδὸν φέρεται. ὁ πρότερος Σωκράτους

τίς ἄλλος ἀντὶ τουτουὶ τοῦ δακτύλου;

καὶ τάχα ἂν εἴη λέγων τῷ γέροντι, ἕτερόν τινα εἶναι δάκτυλον νομίζεις ἢ τοῦτον; δεικνὺς αὐτῷ ἕνα τῶν δακτύλων τῶν αὐτοῦ. ὅταν γὰρ περὶ ῥυθμῶν, οὐ περὶ τούτου τοῦ δακτύλου φησὶν, ἀλλὰ περὶ ἑτέρου. ὡς γὰρ ἄγροικος καὶ οὗτος ἐρεῖ οὐδὲν ἧττον δείξειν τὸν μέσον δάκτυλον ἀσελγαινόμενος. ἐὰν δὲ περιαίρηται, ἀμφότεροι ἔσονται τοῦ γέροντος ἀσυνδέτως εἰρημένοι. Ἄλλως.] δείκνυσι τὸν μέσον δάκτυλον αἰσχρῶς. λέγει οὖν

ὡς οὐκ ἔστιν οὐδεὶς ἀντὶ τούτου τοῦ δακτύλου. καὶ γὰρ παιδίῳ μοι ὄντι ὁ αὐτὸς ἦν καὶ νῦν δὲ γεγηρακότι. — τουτουί : Τὴν πόστην αὐτοῦ ἔδειξε. *Vict.*

655. ἀγρεῖος : Ἄγροικος καὶ ἀμαθής. R. ἄγροικος. *Vict.* ὦ οἰζυρὲ : Ὀζυρὸς καὶ οἰζυρὸς ὁ ταλαίπωρος καὶ ἄθλιος, καὶ οἰζῶ, ἡ ταλαιπωρία. LB. ὦ 'ζυρὲ : Ὥσπερ ἀπὸ τοῦ αἴ θρηνητικοῦ μορίου καὶ ἐπιρρήματος γίνεται ῥῆμα αἰάζω, τὸ θρηνῶ, καὶ ἐξ αὐτοῦ αἴας καὶ αἰανὸς, ὁ σκοτεινὸς, οὕτως καὶ ἀπὸ τοῦ οἴ θρηνητικοῦ ἐπιρρήματος γίνεται μὲν τὸ οἰμώζω, καὶ ἐξ αὐτοῦ οἰμωγὴ, ὁ θρῆνος, γίνεται δὲ καὶ τὸ οἴζω, ὃ σημαίνει τὸ θρηνῶ, κατὰ δὲ διάλυσιν καὶ μετὰ πλεονασμοῦ ὀϊζύω, καὶ ἐξ αὐτοῦ ὀϊζυρὸς καὶ ὀϊζύς. Vict.

657. ὃν εἶπεν ἥττονα. R.

661. κύων, ἀλεκτρυών : Καὶ ταῦτα γελοίου χάριν παρείληπται. ἢ καὶ πρὸς τὴν ἀθεότητα τοῦ Σωκράτους, ὅτι καὶ κατὰ τούτων ὤμνυεν. (ἔπαιξε δὲ τὸν ἀλεκτρυόνα ὡς τετράπουν καταριθμήσας, ἵν' ἡ ἀφορμὴ τοῦ λοιποῦ παιγνίου ἐκ τούτου γενήσεται.)

663. ⟦ἀλεκτρυόνα κατὰ ταυτὸν : Οὐκ ἂν ἄλλως λέγοιτο τοῦτο, εἰ μὴ ἐν ἔθει ἦν τότε καὶ τὴν θήλειαν ἀλεκτρυόνα λέγειν. σαφὲς δὲ γίνεται ἐν Ἀμφιαράῳ

γύναι, τί τὸ ψοφῆσάν ἐσθ'; ἀλεκτρυὼν
τὴν κύλικα καταβέβληκεν. οἰμώζουσά γε.

καὶ ἐν τῷ Πλάτωνος Δαιδάλῳ

ἐνίοτε πολλαὶ τῶν ἀλεκτρυόνων βίᾳ
ὑπηνέμια τίκτουσιν ᾠὰ πολλάκις.

καὶ

ὁ δε παῖς ἔνδον τὰς ἀλεκτρυόνας σοβεῖ.⟧

(οἱ Ἀττικοὶ οὕτω καὶ τὰς θηλείας ἐκάλουν, ὡς καὶ Θεόπομπος. λέγουσι δ' αὐτὴν καὶ ἀλεκτρύαιναν.) — τῷ αὐτῷ ὀνόματι. R. V.

667. νὴ τὸν Ἀέρα : Μιμεῖται καὶ αὐτὸς τοὺς φιλοσόφους, καὶ κατὰ τοῦ ἀέρος ὄμνυσιν.

669. διαλφιτώσω : Πᾶσαν ἀλφίτων πληρώσω (τὴν κάρδοπον. κάρδοπον δέ φησι) μαγίδα, ἐν ᾗ τοὺς ἄρτους ἔματτον, ἢ σκαφίδιον ἐν ᾧ ἀναμάττειν καὶ ἀναφυρᾶν ἔθος τὰ ἄλφιτα. R. V.

670. ἰδού, φησί, διήμαρτες ἕτερον, τὴν καρδόπην εἰπὼν κάρδοπον· κοινῶς γὰρ κέκλιται. V.

673. τῶν πολιτευομένων εἷς ἦν ὁ Κλεώνυμος. ὡς γυναικιζόμενον δὲ αὐτὸν οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταὶ διαβάλλουσι. φησὶν οὖν, τὴν κάρδοπον ἀρσενικῶς καλεῖς, δέον θηλυκῶς· ὥσπερ Κλεώνυμον ἄρρενα καλοῦσί τινες, οὐδὲν διαφέροντα τὴν αἰσχύνην τῶν γυναικῶν. — πῶς δὴ, φράσον : Ἢ πρὸς τὸ φράσον στῖξον καὶ τὸ λοιπὸν κατ' ἐρώτησιν λέγε, ἢ τὸ ὅλον ἓν ἔστω. Cant. 1.

674. ταυτὸν δύναταί σοι : Ἀντὶ τοῦ ὁμοιοκατάληκτά ἐστι. ἅμα δὲ ὅτι καὶ γυναικώδης ὁ Κλεώνυμος, (ἄλλως τε ὅτι καὶ ταυτὸν γένος σημαίνει διὰ τὴν κατάληξιν).

676. ἐπειδὴ πένης ἦν ὁ Κλεώνυμος (καὶ παράσιτος), διασύρει αὐτὸν ὡς ἀποροῦντα μάκτρας καὶ θυείᾳ χρωμενον. (μικρὰ γὰρ ἡ θυεία, ἡ δὲ κάρδοπος μεγάλη. ἔχει δὲ ἀδηφαγίας διαβολήν. τοῦτο κατὰ Κλεωνύμου. τρόπον γὰρ μάκτρας ἔστω σοι, φησὶ, Κλεώνυμος.)

678. τὴν Σωστράτην : Πάλιν ἐνταῦθα ὁ ποιητὴς σκώπτει τὸν Σώστρατον, Σωστράτην εἰπὼν, διότι λίαν ἀσελγὴς ἦν καὶ θηλυδρίας. Junt., Victor.

680. ⟦καρδόπη, Κλεωνύμη : Τοῦτον ἤδη ὡς κίναιδον διασύρει, ἐπεὶ ῥίψασπις καὶ δειλός. ἐν ἐρωτήσει δὲ ὁ λόγος, καὶ λείπει τὸ ὡς· ἵν' ᾖ, ἐκεῖνο δ' ἦν ὀρθῶς ὡς καρδόπη καὶ Κλεωνύμη λέγειν. ὅμοιον δὲ ἦν τὸ λέγειν καρδόπην, ὡς Κλεωνύμην.⟧

684. αὗται πόρναι ἦσαν. V.

686. οὗτοι ἐπὶ μαλακίᾳ διαβάλλονται. R. V.

687. ὦ ἄθλιε· τὸ μὲν γὰρ κατηγορεῖ τύχης, τὸ δὲ φύσεως. V.

688. οὐκ ἄρρεν' ἐν ὑμῖν ἐστιν : Οὐκ ἄρρενα ταῦτα ὑμεῖς ἡγεῖσθε. *E*

691. (γυναῖκα τὴν Ἀμυνίαν : Πρὸς τὴν κατάληξιν τοῦ ὀνόματος ἔπαιξεν εἰς διαβολὴν τοῦ ἀνδρός. ἐνταῦθα μὲν εἰς δειλίαν μόνον καὶ μαλακίαν. Κρατῖνος δὲ ἐν Σεριφίοις ὡς ἀλαζόνα καὶ κόλακα και συκοφάντην. Εὔπολις δὲ ὡς παραπρεσβευτὴν, ὅπερ καὶ ἐν τοῖς Σφηξὶ [1271] φαίνεται.)

694. ⟦κατακλινεὶς : Τοῦτο κοινόν. τὸ γὰρ κατακλιθεὶς Ἀττικόν. — Ἰωνικῶς δὲ κατακλινθείς. Junt.⟧

695. ἐκφρόντισόν τι : Σκέψαι τι τῶν σοι συμφερόντων καὶ ἐννοήθητι.

696. ⟦μὴ δῆθ' ἱκετεύω : Παρεπιγραφή· ποιήσει γὰρ τὸ προσταχθέν. εἶτα καταβρωθεὶς ἀρνηθήσεται.⟧

(698). οὐκ ἔστι παρὰ ταῦτ' ἄλλα : [Εἰ μὴ ἐπὶ τοῦ ἀσκάντου σκέψῃ.] τοῦτο, φησί, πάντως δέδοκται καὶ οὐκ ἂν ἐάσαιμί σε, φησὶν, ἕτερόν τι ποιῆσαι.

699. (ἀντὶ τοῦ σήμερον. καὶ τήμερος) ὁ σημερινός. καὶ ἔστι τεταγμένον ἐπὶ σώματος, τὸ δὲ τήμερον ἐπὶ χρόνου λέγεται. καὶ ἐν Ὁλκάσιν « ἰὼ Λακεδαῖμον, τί ἄρα πείσῃ τήμερα, » ἀντὶ τοῦ σημερινή.

700. φρόντιζε δὴ καὶ διάθρει : Ἐκάθισεν αὐτὸν ἐπὶ τοῦ ἀσκάντου. τὸ δὲ δή ἰσοδυναμεῖ τῷ νῦν. ⟦ἔκθεσις τῆς διπλῆς ἀμοιβαία ἐκ στίχων καὶ κώλων δύο πρὸς τοῖς εἴκοσιν· ὧν τὸ πρῶτον δίμετρον ἐκ διιάμβου καὶ χοριάμβου. τὸ δεύτερον δίμετρον ἐκ χοριάμβου καὶ βακχείου. τὸ τρίτον ἰαμβικὸν πενθημιμερές. τὸ τέταρτον ἐκ διιάμβου καὶ χοριάμβου τρίμετρον βραχυκατάληκτον. τὸ πέμπτον ἐκ διιάμβου καὶ διτροχαίου ταυτοπαθές. τὸ ἕκτον τρίμετρον ἐκ διιάμβων καὶ κατὰ τὸ μέσον χοριάμβου. τὸ ἕβδομον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ὄγδοον δίμετρον ἀντισπαστικὸν βραχυκατάληκτον, ἢ ἐκ δυοῖν βακχείοιν ἀκατάληκτον. τὰ ἑξῆς δύο ἰαμβικὰ τρίμετρα. τὰ δὲ μετὰ ταῦτα ἀναπαιστικὰ δίμετρα καταληκτικὰ εἰς δισύλλαβον· πλὴν τοῦ πεντεκαιδεκάτου, μονομέτρου ὄντος. ὁμοίως καὶ τοῦ ἑπτακαιδεκάτου καὶ εἰκοστοῦ πρώτου (ἀναπαιστικαὶ γὰρ βάσεις) καὶ τοῦ τελευταίου ἀναπαιστικοῦ μὲν ὄντος

ἐφθημιμεροῦς, παροιμιακοῦ δὲ, ὡς πολλάκις εἴρηται, καλουμένου. ἔστι δὲ καὶ ταῦτα πολυσχημάτιστα. ἐπὶ τῷ τέλει δύο διπλαῖ ὡς ἐν τοῖς προφθᾶσιν. ἰστέον δὲ ὅτι τὰς ἐκθέσεις τῶν διπλῶν οὐκ ἀεὶ διὰ τοῦ αὐτοῦ μέτρου ἐκφέρουσιν, ἀλλὰ καὶ δι' ἑτέρου· ἔστι δ' ὅτε καὶ διὰ διαφόρων, ὡς κἀνταῦθα.] ἀντὶ τοῦ βλέπε. R. βλέπε. V. διάθρει : Ἀντὶ τοῦ ἀνάκρινε καὶ δοκίμαζε.

701. πάντα τρόπον : Τουτέστιν, ἐπὶ πολλὰ τὴν διάνοιάν σου τρέπε.

702. στρόβει : Περίφερε τῇδε κἀκεῖσε, πυκνόν τι καὶ συνετὸν ποιήσας φρόνημα καὶ σκεψάμενος.

πυκνώσας : Συναγαγὼν πάντα τὸν νοῦν σου. E.

703. εἰς ἄπορον πέσῃς : (Ἐπειδὰν δὲ, φησὶν, εἴς τι ἄπορον πέσῃς, ταχέως ἐπ' ἄλλο νόημα φρενὸς πήδα. ἄπορον δὲ, οὗ πόρον καὶ λύσιν οὐκ ἔστιν εὑρεῖν. καθάπτεται δὲ τοῦ Σωκράτους, ὡς καὶ αὐτοῦ ἐπὶ ταῖς ζητήσεσιν οὕτω ποιοῦντος. ὅταν γὰρ στενοχωρῆται καὶ ἀπορῇ, μεθίσταται εἰς ἕτερον. ὁ γὰρ ὑποτιθέμενος ἄλλῳ δῆλον ὅτι αὐτὸς ἐν πείρᾳ γενόμενος τῶν ὅσα λέγει ὑποτίθεται. Ἄλλως.) οὗ πόρον οὐκ ἔστιν εὑρεῖν. φησὶ δὲ ὅτι, ἐὰν ἡ διάνοια εἰς ζήτημα ἄπορον ἐμπέσῃ, μετάβηθι ἐπὶ ἄλλο. σκώπτειν δὲ διὰ τούτων βούλεται τὸν Σωκράτην ὡς χλευαζόμενον ἐν ταῖς συζητήσεσι καὶ μεθιστάμενον ὑπὸ στενοχωρίας. R.V.

707. ἰατταταί : Καταπονούμενος ὑπὸ τῶν κόρεων στενάζει ὁ Στρεψιάδης. [ἔστι δὲ παρεπιγραφή. κατακλιθεὶς γὰρ καὶ μὴ δυνάμενος ὑπενεγκεῖν, παρεκάλει.]

βακχεῖον δίρυθμον. B.

710. οἱ Κορίνθιοι : Ἴσως μὲν ὅτι κατ' ἐκεῖνον τὸν καιρὸν ἐπέκειντο αὐτοῖς οἱ Κορίνθιοι, ἅμα δὲ ὅτι παρὰ τὸ κόρις πεποίηνται οἱ Κορίνθιοι. παίζων οὖν παρονομάζει ἅμα μὲν πρὸς τὸ τῶν κόρεων ὄνομα, ἅμα δὲ διὰ τὸν πόλεμον καὶ ὅτι ἐχθροὶ ἦσαν Ἀθηναίων οἱ Κορίνθιοι. — δέον οἱ κόρεις εἰπεῖν, Κορίνθιοι εἶπεν· ἐπειδὴ οἱ Ἀθηναῖοι καὶ οἱ Κορίνθιοι κατ' ἐκεῖνο καιροῦ πόλεμον εἶχον καὶ οἱ Κορίνθιοι τὰ τῆς Ἀττικῆς ἐδῄουν. Br.

712. [ψυχὴν ἐκπίνουσιν : Ἰστέον ὅτι τρεῖς ψυχάς φασι. τὴν αὐξητικὴν, ἥτις ἐστὶ κοινὴ τῶν ἀνθρώπων, τῶν ἀλόγων ζώων καὶ τῶν φυτῶν· τὸ αἷμα, ὅπερ ἐστὶ μόνων τῶν ζώων· καὶ τὴν λογικὴν, ἥτις ἐστὶ μόνων τῶν ἀνθρώπων. Junt. αἷμα. *Br.*]

717. πῶς δυνατὸν, φησὶ, μὴ ἀλγεῖν. R.

719. φρούδη δ' ἐμβάς : Μέχρι τοῦ εὐτελοῦς κτήματος. τοῦτο δὲ εἶπε διὰ τὸ ὑπολύσασθαι τὰς ἐμβάδας, ὅτε καὶ ἀπεδύσατο ὡς μέλλων εἰσιέναι εἰς τὸ φροντιστήριον. [Ἄλλως. οὐκ εἶπεν ὄπισθεν ὅτι τὰς ἐμβάδας ὑπελύσατο ὁ Στρεψιάδης, ὅτε εἰσῄει τὸ ὑπὲρ γῆν ἐκεῖνο φροντιστήριον, ἀλλὰ μόνον, ὅτι ἐξεδύσατο τὸ ἱμάτιον. καὶ οὐδὲν θαυμαστὸν, εἰ τὸ γεγονὸς μὲν τότε παρῆκε, νῦν δὲ λέγει· τουτέστι τὸ ὑπολύσασθαι τὰς ἐμβάδας. ὃ δὲ ἐκεῖ εἶπεν, ἤγουν τὸ ἀποδύσασθαι τὸ ἱμάτιον, νῦν οὐ λέγει. Junt.]

721. φρουρᾶς ᾄδων : Οἱ γὰρ φρουροῦντες πρὸς τὸ ἀποσοβεῖν τὸν ὕπνον καὶ τὴν ἀγρυπνίαν αὐτῶν [παραμυθεῖσθαι] ᾖδον. καὶ οὕτως ἦν λεγόμενον ἐπὶ τῶν ἀγρυπνούντων, φρουρᾶς ᾄδειν. [Ἄλλως. ἐκ τοῦ παρεπομένου τοῖς φρουροῖς. εἰώθασι γὰρ ἑαυτοῖς ᾄδειν ἀποπερισπῶντες τὸν ὕπνον.] (φρουρᾶς ᾄδων : Οἷον διαγρυπνῶν περὶ τὴν φρουράν. δισσὴ δέ ἐστιν ἡ γραφὴ, φρουρὰς ᾄδων καὶ φρουρὰς ἰδών. καὶ τὸ μὲν φρουρὰς ᾄδων ἀντὶ τοῦ συνεχῶς ᾄδων φρουράς, τὸ δὲ φρουρὰς ἰδὼν ἀντὶ τοῦ φυλάττων, ἐπειδὴ φύλακες ἦσαν τῶν τοῦ φροντιστηρίου θυρῶν.) [Ἄλλως. τὸ φρουρᾶς ᾄδειν παροιμία ἐστὶν ἐπὶ τῶν ἀγρυπνούντων καὶ φροντιζόντων πάνυ λεγομένη. οἱ γὰρ ἐπιτραπέντες ἐν νυκτὶ τινὰ φυλακὴν ᾄδουσιν, ἵνα μὴ ὑπὸ τοῦ ὕπνου καταμαλθακισθέντες ἐκλίπωσιν ὃ φυλάσσουσιν. εἰκότως δ' ἐνταῦθα ἡ παροιμία ἐλήφθη. καὶ γὰρ αὐτὸς ἐν τῇ κλίνῃ κείμενος οὐκ ἐκοιμᾶτο, ἀλλ' ἐφρόντιζεν. ἀστείως δὲ πάνυ καὶ τὸ φροῦδος εἴρηκεν ὁ ποιητής, ἐκ τῶν δύο λέξεων συνθήκης, τοῦ φρουρᾶς καὶ τοῦ ᾄδων, σχηματίσας αὐτό. Junt. ἕνεκα. παροιμία ἐπὶ τῶν ἀγρυπνούντων. *Br.*]

726. ἀπόλωλ' ἀρτίως : Ὑπὸ τῶν κόρεων δηλονότι. ἐπειδὴ Σωκράτης εἶπεν ἀπολεῖ, ὅ ἐστι, μέλλεις ἀπολέσθαι, οὗτος λέγει, ὅτι ἀπόλωλ' ἤδη.

727. οὐ μαλθακιστέον πρὸς τὰ τῶν κόρεων δήγματα. R.V.

729. κἀπαιόλημ' : Κίνημα, ἀποπλάνημα καὶ ἀπάτην τινὰ, πανούργημα. ἢ οὕτως. δεῖ σε, φησὶ, καλύψασθαι καὶ σκέψασθαι. ἐπεὶ οἱ εἴς τι τείνοντες τὸν ὀφθαλμὸν ἀποπλανῶνται τὴν γνώμην. [ἀπαιόλημα γίνεται ἀπὸ τοῦ αἰόλλω, ὃ δηλοῖ τὸ ταχέως καὶ δίκην ἀέλλης κινῶ· ἀφ' οὗ Ὅμηρος αἰολοπώλους τοὺς Φρύγας καλεῖ, ἤγουν ταχυίππους, ἢ ποικίλως ἱππαζομένους. Junt. ἀπάτη καὶ πανουργία. *Br.* κἀπαιόλημα : Αἴολος ποικίλος ἢ εὐκίνητος ἀπὸ τοῦ αἰολεῖν, ὅ ἐστι κινεῖν. *Vict.*]

ἐπιβάλοι : ἀντὶ τοῦ καλύψειε. R.

730. ἀρνακίδων : Ἀρνακὶς λέγεται τὸ τοῦ ἀρνοῦ κώδιον. ἔπαιξε δὲ πρὸς τὸ ἀρνεῖσθαι. δέον γὰρ εἰπεῖν, τίς ἄν με περιβάλοι ἀπὸ ἀρνακίδων γενόμενον περιβόλαιον, ἔπαιξε παρονομάσας ἀπὸ τοῦ ἀρνὸς καὶ τοῦ ἀρνεῖσθαι. τὸ δὲ ἀποστερητίδα ἅμα μὲν ἀπὸ τοῦ ἀποστερεῖν, ἅμα δὲ καὶ ἀντὶ τοῦ περιβόλαιον. [ἀρνακὶς, τὸ τοῦ ἀρνὸς κώδιον. παίζει δὲ ἐνταῦθα, γνώμην ἐξ ἀρνακίδων εἰπὼν ἀποστερητίδα, ἤγουν γνώμην ἐξ ἀρνήσεως καὶ ἀποστερήσεως. ὤφειλε δὲ εἰπεῖν· τίς ἂν δῆτ' ἐπιβάλοι καὶ ἐπιθήσει σκέπασμα ἐξ ἀρνακίδων, ὡς ἂν γνώμην εὕροιμι ἀποστερητικήν; ὁ δὲ παίξας οὕτως ἐξήνεγκεν. Br. ]

731. ἔρχεται πάλιν ἐπ' αὐτὸν ὁ Σωκράτης. R.

(733). ἔχεις τι : [Ἐπειδὴ προεῖπεν αὐτῷ, ἀναρτήσας τὴν φροντίδα, ὡς ἐπὶ ὀρνιθοθήρου εἶπε τὸ ἔχεις.] ὡς ἐπὶ τῶν ἀγρευόντων ἤτοι ὄρνιν, ἢ ἰχθῦν, εἶπε τὸ ἔχεις τι, ἀντὶ τοῦ συνείληφάς τι; ἀναρτῆσαι γὰρ αὐτῷ ἐκέλευσε τὴν διάνοιαν καὶ τὴν φροντίδα. Ἄλλως. χαριέντως τὸ ἔχεις τί, τῇ τῶν ἀγρευτῶν λέξει χρώμενος. τοῖς γὰρ ἁλιεῦσιν ἢ ὀρνιθαγρευταῖς οὕτω φασὶν, ἔχεις τί.

734. ἢ τὸ πέος : (Παρεπιγραφή.) δεῖ γὰρ αὐτὸν κα-

θέζεσθαι ἔχοντα τὸ αἰδοῖον (καὶ μιμεῖσθαι τὸν δερμύλλοντα ἑαυτόν).

735. τι φροντιεῖς : Φροντίζω, τὸ φροντίδα ἔχω, κοινῶς μὲν γενικῇ συντάσσεται· Ἀττικῶς δὲ μετὰ αἰτιατικῆς, ὡς ἐνταῦθα, ἢ ἐν τῷ [190] « βολβοὺς ζητεῖτε; μὴ τοῦτο φροντίζετε. » Junt.

737. [αὐτὸς ὅ τι βούλει : Διαβάλλει αὐτὸν, ὡς μὴ παρέχοντα εὕρημα τοῖς μαθηταῖς.]

740. σχάσας : Ἀντὶ τοῦ καταπαύσας, στήσας, ἀτρεμίσας. καὶ Πίνδαρος [Pyth. 10, 79] « κώπην σχάσας » ἀντὶ τοῦ τὴν εἰρεσίαν καταπαύσας. ἔνιοι δὲ σχάσας ἀντὶ τοῦ ἁπλώσας. [ὄπισθεν μὲν [108] ἔλεγε παθητικῶς σχασάμενος, νῦν δὲ σχάσας. ἔοικε δὲ ἀμφότερα ἐν χρήσει. ἔστι δὲ καὶ σχάζειν τὸ τέμνειν τὴν φλέβα, ὡς Ξενοφῶν [Hist. Gr. 5, 4, 58] « σχάζει τὴν παρὰ τῷ σφυρῷ φλέβα. » Cant. 3.]

741. λεπτὴν : Ἀντὶ τοῦ ἀκριβῆ. ἔνθεν καὶ λεπτολόγος. περιφρόνει δὲ ἀντὶ τοῦ ἐρεύνα.

742. διαιρῶν : Ἀντὶ τοῦ ἀναπτύσσων καὶ δοκιμάζων καὶ διακρίνων τὰ ποιήματα καὶ οἷον διαίρεσιν αὐτῶν ποιῶν. σκοπῶν δὲ ἀντὶ τοῦ ἀκριβῶς καὶ ἐπιμελῶς καταμερίζων περὶ οὗ ἂν τὴν σκέψιν ποιῇ. [Ἄλλως. ὡς ἐπὶ τῶν μίμων ἐχρήσατο. ὡσεὶ ἔλεγε κατὰ κεφάλαιον ἐκζητῶν. — ὁ γὰρ σκεπτόμενος οὕτω, διαιρεῖ τὴν βουλήν· οἷον, εἰ τόδε ποιήσω, τόδε ἀπαντήσει· καὶ εἰ τόδε, τόδε. Junt., Vict.]

743. ἔχ' ἀτρέμα: Ἐφ' ἡσυχίας μένε· ὡς αὐτοῦ κινουμένου διὰ τοὺς κόρεις. τὸ δὲ κἂν ἀπορῇς τι τῶν νοημάτων ἀντὶ τοῦ κἂν ἀπορῇς εἰς νόημά τι. [Ἄλλως. ἰστέον ὅτι οἱ Ἀττικοὶ πάντα τὰ ἑνικά τε καὶ πληθυντικὰ τρίτα πρόσωπα τῶν ῥημάτων καὶ τὰς τῶν ὀνομάτων δοτικὰς τῶν πληθυντικῶν συμφώνου καὶ φωνήεντος ἐπιφερομένου μετὰ τοῦ ν γράφουσιν, ὡς ἔστι σαφῶς συμβαλεῖν ταῖς τοῖς πάλαι σοφοῖς πεπονημέναις ἐντυγχάνοντα βίβλοις. οἱ δὲ Ἴωνες δίχα τοῦ ν. τούτοις οὖν καὶ ἀμφοτέροις οἱ ποιηταὶ παρακολουθοῦντες, καὶ δὴ καὶ τῇ ἀνάγκῃ τοῦ μέτρου ἑπόμενοι, πολλάκις συμφώνου μὲν ἐπιφερομένου μετὰ τοῦ ν γράφουσι· πολλάκις δὲ καὶ φωνήεντος ἐπιφερομένου δίχα τοῦ ν. τοιοῦτον δή τι τῇ τοῦ μέτρου ἀνάγκῃ καὶ ἐν τοῖς ν καὶ εἰς ς λήγουσιν ἐπιρρήμασι ποιεῖν εἰώθασιν, οἷον τὸ πρόσθεν, νέρθεν, ὑπένερθεν· τὸ οὕτως, αὖθις, πολλάκις, εὐθύς, ταχύς, ἀτρέμας, καὶ τοῖς ὁμοίοις. τοῦτο δὲ οὕτως ἔχον εὑρήσεις ἀκριβῶς σκοπῶν. Junt.]

744. ἀντὶ τοῦ καὶ δεύτερον ἐπίστησον περὶ τῶν αὐτῶν καὶ τρίτον. ζυγώθρισον δὲ ἀντὶ τοῦ ἴσωσον. Ἄλλως. ἔασον τὸ ἀπορούμενον· ἔπειτα πάλιν ἀνασκοπεῖν καὶ οἷον ἀνοίγειν ἀποπειρῶ. τὸ γὰρ ἀναζυγοῦν ἐστι τὸ ἔξωθεν ἀνοίγειν τὴν θύραν. ἔνιοι δὲ τὸ ζυγώθρισον, ἀντὶ τοῦ συνάρμοσον, σύμπηξον.

745. (κίνησον αὖθις : Ὑποτίθεται πῶς δεῖ φροντίζειν, καὶ τίνα τρόπον. φησὶν οὖν ἐὰν ὑπεισέλθῃς, ἔτι μὴ ἀμελήσῃς, ἀλλὰ πολλάκις αὐτὸ μέτελθε· καὶ οὕτως εἰς ἓν συμφορήσας τὴν ἀρίστην γνώμην ἑλοῦ.)

[ζυγώθρισον : Ἀπὸ τοῦ ζυγὸς γίνεται καὶ τοῦ ἀθερίζω, τὸ ἀποδοκιμάζω, ζυγοαθέρισον, καὶ κατὰ συγκοπὴν τοῦ ε, καὶ κρᾶσιν τοῦ ο καὶ α εἰς ω μέγα, ζυγώθρισον. Junt. σκόπησον, μελέτησον· μεταφορικῶς. *Br.*]

746. ὦ Σωκρατίδιον : Ὡς ἐνθυμηθείς τι ἀνίσταται καὶ βοᾷ.

749. γυναῖκα φαρμακίδ' : Διαβάλλονται οἱ Θετταλοὶ ὡς γόητες. καὶ μέχρι νῦν γε φαρμακίδες παρ' ἡμῖν αἱ Θετταλαὶ καλοῦνται. φασὶ δὲ ὅτι Μήδεια φεύγουσα κίστην ἐξέβαλε φαρμάκων ἐκεῖ καὶ ἀνέφυσαν. τὸ δὲ Θεττάλην Ἀττικοὶ βαρύνουσιν οἱ κατὰ Μένανδρον, ὡς δαμάλην.

751. λοφεῖον στρογγύλον : Τὴν τοῦ κατόπτρου θήκην. ἢ τὴν θήκην τοῦ λόφου τῆς περικεφαλαίας. περιφερὴς δὲ αὕτη. — λοφεῖον : Ἀγγεῖον. *Br.*

752. ὥσπερ κάτοπτρον : Ὁ γὰρ τῆς σελήνης κύκλος στρογγυλοειδὴς, καθάπερ τὰ ἔσοπτρα. καὶ φασὶ τοὺς περὶ τὰ τοιαῦτα δεινοὺς τούτῳ κατάγειν τὴν θεόν. ἔστι δὲ καὶ Πυθαγόρου παίγνιον διὰ κατόπτρου τοιοῦτον. πληροσελήνου τῆς σελήνης οὔσης, εἴ τις εἰς ἔσοπτρον ἐπιγράψειεν αἵματι ὅσα βούλεται, καὶ προειπὼν ἑτέρῳ στῆναι κατόπιν αὐτοῦ, δείκνυσι πρὸς τὴν σελήνην τὰ γράμματα, κἀκεῖνος ἀτενίσας ὁ πλησίον εἰς τὸν τῆς σελήνης κύκλον, ἀναγνοίη πάντα τὰ ἐν τῷ κατόπτρῳ γεγραμμένα ὡς ἐπὶ τῆς σελήνης γεγραμμένα.

754. μηκέτ' ἀντέλλοι : Πρὸς τὸ προειρημένον ὑπ' αὐτοῦ [17]

ὁρῶν ἄγουσαν τὴν σελήνην εἰκάδας.

[τελουμένης γὰρ σελήνης οἱ τόκοι ἐδίδοντο. εἰ γοῦν οὐκ ἀνατέλλοι, πῶς ἂν οἱ δανεισταὶ γνόντες τὸν μῆνα τελούμενον ἀπαιτήσαιεν τοὺς τόκους; Junt.]

755. (τιητί δή : Παράλληλα. καὶ παρ' Ὁμήρῳ [Il. Ψ, 409] « τίη λείπεσθε φέριστοι; »)

756. [ἀργυρίων : Οὕτως ἡ γραφὴ ἀργυρίων παρὰ Φρυνίχῳ κεῖται· ὅτι οἱ κωμικοὶ πληθυντικῶς φασὶν, οἱ δὲ ῥήτορες ἑνικῶς. καὶ Σώφρων πληθυντικῶς « ἀργυρίων δεήσῃ. »]

757. προβαλῶ : Προθήσω, εἰς ὃ δεῖ σε μηχανὴν εὑρεῖν. Junt.

758. εἴ σοι γράφοιτο : Εἰ κατηγοροίη κατηγορίαν πέντε σε δυναμένην ζημιῶσαι τάλαντα. Ἀττικῶς δὲ τοῦ ἀριθμοῦ τὸ πέντε ἐφύλαξε. [Ἄλλως. ἰστέον ὅτι ἐν τοῖς δικασταῖς οἱ δανεισταὶ ἐρχόμενοι ἔλεγον, ὡς ὁ δεῖνα αὐτοῖς ὀφείλει. εἶτα ὁ τοῦ δικαστηρίου γραμματεὺς ἔγραφε τοῦτο. καὶ μετὰ ταῦτα ὁ ὀφείλων καλούμενος ἀπῃτεῖτο τὸ δάνειον. Junt.]

759. ποίῳ τρόπῳ. R.

761. εἶλε τὴν γνώμην : Ἀπόκλειε, ἔφελκε. ὅθεν [ap. Hom. Il. N, 572] ἰλλάσιν. R. V. — εἰλῶ, τὸ στρέφω παρὰ τοῖς κοινοῖς, περισπωμένως. εἴλω δὲ, βαρυτόνως, παρὰ τοῖς ποιηταῖς. Junt. στρέφε. *D. E.* εἶλλε : Ἀπόκλειε. *A.*

762. ὑποχάλα : Ὥσπερ ἀπὸ ὕψους τινὸς καταβίβαζε. Cant. 3.

763. μηλολόνθην : [Οὕτω γράφουσιν οἱ ἀκριβέστεροι. τινὲς δὲ λέγουσιν ὅτι ζωΰφιόν ἐστι χρυσίζον κανθάρῳ ὅμοιον, ὃ λαμβάνοντες οἱ παῖδες ἀποδεσμοῦσι λίνῳ καὶ ἐκπεταννύουσιν. Ἄλλως. τὸν χρυσοκάνθαρον. οὕτως οὖν, φησὶ, δῆσόν σου τὴν γνώμην, ἵν', ὅταν ἁρπάσῃς ἐκ τοῦ ἀέρος τὴν γνώμην, πάλιν ἐπισπάσῃ αὐτήν. — μηλολόνθην : Χρυσοκάνθαρον, ζίναν. *Br.*] εἶδος ζωϋφίου τινὸς παρὰ τὸν κάνθαρον, ὃ τοῖς ἄνθεσιν ἐπικαθέζεται. ταύταις οὖν εἰς παιδιὰν ἐχρῶντο Ἀθήνησι παῖδες, λίνον τοῦ ποδὸς ἐξαρτῶντες καὶ ξυλήφιον, ὅπερ οὐκ ἐξισχύουσιν ἀνακουφίσαι εἰς τὸν ἀέρα· ἔχοντες ἐξουσίαν πάλιν αὐτὰς κυνηγετῆσαι. λέγει δὲ τὸν χρυσοκάνθαρον. R. V.

764. ἀποφυγήν. R.

765. τὰ γὰρ καλὰ ἐπαινεῖ ὁ διδάσκαλος. V.

766. [τοῖσι φαρμακοπώλαις : Φαρμακοπῶλαι κυρίως οἱ τὰ φάρμακα πιπράσκοντες, τά τε λυσιτελοῦντα καὶ τὰ θανάσιμα. παρὰ τοῖς παλαιοῖς δὲ καὶ οἱ τοὺς τιμαλφεῖς (τουτέστι πολυτίμους) λίθους πιπράσκοντες, φαρμακοπῶλαι ἐλέγοντο. οὐδεὶς γὰρ τῶν τοιούτων λίθων, ὃς οὐκ ἔχει καινοτέραν δύναμιν. Junt.] τὸν κρύσταλλον. R. V.

768. τὴν ὕαλον λέγεις : Κατασκεύασμά ἐστιν ὑάλου τροχοειδὲς, εἰς τοῦτο τεχνασθὲν, ὅπερ ἐλαίῳ χρίοντες καὶ ἡλίῳ θερμαίνοντες, προσάγουσι θρυαλλίδα καὶ ἅπτουσι. τοῦτο οὖν, φησίν, εἰ ὑφάψαιμι διὰ τῆς ὑέλου, καὶ προσαγάγοιμι τῇ δέλτῳ τὸ πῦρ τῇ τοῦ γραμματέως, ἀφανίσαιμι τὰ γράμματα τῆς δίκης. (ὅτι δὲ ὕαλος θηλυκῶς, καὶ διὰ τοῦ α. διὸ τὸ χ. Ὅμηρος δὲ οὐκ οἶδε τὸ ὄνομα, ἀλλὰ παρ' αὐτῷ καὶ τοῖς ἀρχαίοις ἤλεκτρος μέν ἐστιν, ὕαλος δὲ οὔ.) [Ἄλλως. ὕαλον ἡμεῖς μὲν ἀρτίως τὸ ἐκ βοτάνης τινὸς κεκαυμένον καὶ διὰ πυρὸς τηκόμενον εἰς κατασκευὴν ἀγγείων τινῶν λέγομεν. οἱ παλαιοὶ δὲ τὴν διαφανῆ λίθον, τὸν ἰδιωτικῶς λεγόμενον κρύον, ἐοικότα δὲ ὑάλῳ. Junt.]

770. ὁ γραμματεὺς : ὁ γράφων τὰ λεγόμενα ἐν ταῖς δίκαις, ὃν νῦν καλοῦμεν ἐκσκέπτορα. R. V.

773. νὴ τὰς Χάριτας : Πάλιν ἑτέρῳ ὅρκῳ κέχρηται ὁ Σωκράτης. V. [οὐχ ἁπλῶς ὄμνυσι κατὰ τῶν Χαρίτων. ὀπίσω γὰρ τῆς Ἀθηνᾶς ἦσαν γλυφεῖσαι αἱ Χάριτες ἐν τῷ τοίχῳ, ἃς ἐλέγετο ὁ Σωκράτης γλύψαι. τὸ γὰρ πρῶτον λιθογλύφος ἦν τὴν τέχνην. αἰνίττεται οὖν αὐτοῦ τοῦ Σωκράτους εἰς τὴν πρώτην τέχνην. — Ἄλλως. τῷ μὲν φαινομένῳ ἀρεσκόμενος Σωκράτης δείκνυται τῷ τοῦ Στρεψιάδου νοήματι, καὶ ὄμνυσι τὰς Χάριτας, ὅτι σοφῶς τοῦτο τὸ νόημα ἐπενόησε τὸ τῆς τοῦ χάρτου τεφρώσεως. Χαρίτων γὰρ ἔργα καὶ δῶρα σοφία. ἐσχηματισμένως δὲ τοῦ Σωκράτους καθάπτεται ὁ ποιητὴς, κωμῳδῶν τοῦτον ὡς λιθοξόον. Σωφρονίσκου γὰρ λιθοξόου ἦν υἱὸς Σωκράτης, καὶ τῆς λαξευτικῆς μετέσχε τέχνης, καὶ ἀνδριάντας λιθίνους ἐλάξευε, καὶ ἀγάλματα δὲ τῶν τριῶν Χαρίτων εἰργάσατο, Πειθοῦς, Ἀγλαΐας καὶ Θαλείας· καὶ ἦσαν ὄπισθεν τῆς Ἀθηνᾶς ἐγγεγλυμμένα τῷ τοίχῳ. Junt.]

[οἴμ' ὡς ἥδομαι : Ὁ ἄγροικος ὡς ἤδη νενικηκὼς διὰ τὸ τῆς εὑρέσεως τοῦτο λέγει. καὶ γὰρ ἐν τῇ συνηθείᾳ πολλάκις λέγομεν τὸ οἴμοι χαίροντός τινος. V. τὸ οἴμοι καὶ ὤμοι ποτὲ μὲν ἐπ' εὐφροσύνῃ κείμενον εὕρηται, ποτὲ δὲ ἐπὶ λύπης. καὶ ἐπ' εὐφροσύνῃ μὲν, ὡς ἐνταῦθα, οἴμ' ὡς ἥδομαι· καὶ [926] « ὤμοι σοφίας ἐμνήσθης. » ἐπὶ δὲ λύπης ὡς τὸ, οἴμοι τάλας· καὶ [Plut. 850]

οἴμοι κακοδαίμων, ὡς ἀπόλωλα δείλαιος.

καὶ [infra 928]

ὤμοι μανίας τῆς σῆς, πόλεώς τε.

Junt.]

774. (διαγέγραπται : Κατέξυσται, ἀνῄρηται. ἀπὸ τῆς τοῦ γραμματέως δέλτου, ὅπου αἱ δίκαι ἀνεγράφοντο, καὶ αἱ εἰσαγωγαὶ τῶν δικῶν.) — ἀπήλειπται, ἠφάνισται. *Br.*

(776). ἀντιδικῶν : [Κατηγορῶν καὶ ἐναντιούμενος.] τοῖς γὰρ γραψαμένοις καὶ μὴ ἀποδείξασιν ἐπεβάλλετο χρηματικὴ ζημία, καὶ εἰ μὴ κατὰ τὸ ὡρισμένον ἐξέτισεν, ὑπερήμερος γενόμενος ἐξετίννυε τὸ τετραπλοῦν. οἱ δὲ μὴ ἔχοντες ἐκτῖσαι καθείργνυντο ἐν τῷ δικαστηρίῳ. πολλοὶ δὲ τοῦτο πεπόνθασιν, ὡς ὁ ῥήτωρ ἐν τῷ κατὰ Ἀριστογείτονος. — ἀποστρέψαις : Ἀποδιώξαις. ἀντιδικῶν : Ἀντεγκαλῶν, ἀντιλέγων. *Br.*

777. ὀφλήσειν : καταδικασθῆναι. R.

778. εὐκολώτατα καὶ εὐχερῆ. V.

781. λείπει τὸ καλῶς λέγω. R. V.

783. ὑθλεῖς : ἀντὶ τοῦ φλυαρεῖς· ὕθλος γὰρ ὁ φλύαρος. R. V. τὸ δὲ ἄπερρ' ἀντὶ τοῦ φθείρου. V. ληρεῖς, φλυαρεῖς. *Br.* ὑθλεῖς : Ὕθλος, φλυαρία, μωρία, λαρότης. ἄπερρ' : Ἀποφθείρου, πορεύου μετὰ φθορᾶς. *Vict.* ἄπαιρε : Ἄπελθε. *D.*

784. ἀντὶ τοῦ διὰ τί. τὸ δὲ ὅτι περιττόν. R. V.

786. ἀνακρίνει αὐτὸν εἰ μέμνηται. R. V.

788. τίς ἦν ἐν ᾗ : Τὴν κάρδοπόν φησιν. ὥσπερ ἐπιλαθόμενος ταῦτα λέγει.

790. [ἐπιλησμότατον : Ἰδίως ἐπιλησμονέστατον. Ἄλεξις δὲ λέγει ἐπιλήσμη, Κρατῖνος ἐπιλησμόνη.]

792. ὑπερβατόν· ἀπολοῦμαι γάρ. V. γλωττοστροφεῖν : τὴν γλῶτταν στρέφειν καὶ ποικίλον ἐν τῷ λέγειν καθεστηκέναι. R. V. — τὴν γλῶτταν στρέφειν, δι' ἧς ἂν τοὺς δανειστὰς ἀποκρούσωμαι. Junt., Vict.

799. εὐσωματεῖ : Ἐκ τοῦ ἐναντίου συγκατατίθεται. δέον γὰρ ἂν μανθάνειν τοιοῦτον ὑγιαίνοντα. εἰ μὴ ἄρα τοῦτο λέγει, ὅτι φοβοῦμαι αὐτόν. — ναὶ, ἄκων ἐπιτρέπω. *E.* ἀντὶ τοῦ ἰσχυρότερός μού ἐστι τὸ σῶμα. R. V.

800. εὐπτέρων : (Ἡ μεταφορὰ ἀπὸ τῶν ὀρνέων, τῶν μετεώρων καὶ ὑπερηφάνων. ἢ εὐπτέρων τῶν τιμίων καὶ εὐγενῶν. ἢ τῶν φρονουσῶν τὰ Κοισύρας, ἀντὶ τοῦ μέγα φρονουσῶν. Ἄλλως.) ἢ εὐγενῶν, ἀπὸ τῶν ὀρνέων, ἢ κούφων καὶ ὧν ὁ λογισμὸς ἵπταται. ἢ τὴν Κοισύραν τὴν Μεγακλέους ἀστεϊζόμενος ὡς δραπέτης αὐτῆς

αὐτοὺς διασύρειν θέλει. — εὐπτέρων : Εὐγενῶν, ἐπηρμένων. τῶν Κοισύρας : Ἐκ ταύτης γὰρ ἡ τούτου γυνὴ κατήγετο. *Br.* ἐκ ταύτης τῆς Κοισύρας ἡ τούτου γυνή. καὶ διὰ τοῦτο εὐγένιζεν ἑαυτήν. *D.*

801. ἀτὰρ μέτειμι : Καὶ δὴ μετέλθω, μεταχειρίσομαι, εἴ πως δυνηθῶ πεῖσαι αὐτόν. Junt., Vict. μέτειμι : Μετελεύσομαι. *Vict.*

802. ἐξελῶ : Ἐξελάσω. *Br.*

803. πρὸς τὸν Σωκράτην τοῦτό φησι. R. V.

804. χορίαμβος δίμετρος ἀκατάληκτος. χορίαμβος δίμετρος δικατάληκτος. ἴαμβος πενθημιμερής. ἀπὸ χοριάμβου βάσεως εἰς χορίαμβον. ἴαμβος δίμετρος καταληκτικός. ἴαμβος δίμετρος ἀκατάληκτος. ἀπὸ χοριάμβου βάσεως εἰς ἴαμβον. χοριαμβικὸν τρίμετρον ἀκατάληκτον. χορίαμβος ἐφθημιμερής. V. [κορωνὶς καὶ εἴσθεσις χοροῦ μεσῳδικὴ κώλων διαφόρων δέκα. τούτων τὸ μὲν πρῶτον δίμετρον ἀντισπαστικὸν ἐκ διτροχαίου καὶ παλιμβακχείου. τὸ δεύτερον ἐξ ἀντισπάστου καὶ ἀμφιβράχεος. τὸ τρίτον ἐξ ἐπιτρίτου τρίτου καὶ ἰάμβου δίμετρον βραχυκατάληκτον. τὸ τέταρτον δίμετρον ἐκ διτροχαίου καὶ ἀμφιβράχεος. τὸ πέμπτον τροχαϊκὸν δίμετρον ἀκατάληκτον, ἀδιαφόρου τῆς τελευταίας οὔσης. τὸ ἕκτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ἕβδομον ἐκ χοριάμβου καὶ διιάμβου δίμετρον. τὸ ὄγδοον χοριαμβικὸν τρίμετρον ἀκατάληκτον. τὸ ἔνατον ὅμοιον τῷ ἕκτῳ, ἐχούσης ἀνάπαιστον τῆς ἀρχούσης. τὸ δέκατον χοριαμβικὸν δίμετρον καταληκτικόν· εἴτ' οὖν ἐκ χοριάμβου καὶ βακχείου.]

807. (ἀντὶ τοῦ ἕτοιμός ἐστι) μισθούς σοι χορηγεῖν οὓς ἂν θέλῃς. R. V.

809. ἐκπεπληγμένου : Ἀντὶ τοῦ, ἐπαινοῦντος. λείπει δὲ τὸ σέ. οἱονεὶ ἐκπλήκτου καὶ μέγα φρονοῦντος. — ἐξεστηκότος καὶ ἄγαν προθυμουμένου. *E.*

810. ἐπηρμένου : Μετεώρου καὶ ἑτοίμου πᾶν ποιήσειν, ὃ ἂν κελεύῃς. *E.*

[811. γνοὺς ἀπολέψεις : Οἱ λέγοντες τὸ γνοὺς ἀντὶ τοῦ αἴσθησιν λαβὼν, ἵνα συντάσσωσι τὴν γενικὴν, οὐ καλῶς λέγουσιν. ἐστὶ γὰρ αὕτη ἡ γενικὴ πρὸς τὸ ἀπολάψεις, οὕτω· σὺ δὲ ἀπολάψεις (ἀντὶ τοῦ ἀποκέρδησον) ταχέως ὅ τι πλεῖστον δύνασαι ἀνδρὸς ἐκπεπληγμένου καὶ φανερῶς ἐπηρμένου. εἶτα ὕστερον ἐπάξεις τὸ γνοὺς, ἀντὶ τοῦ, οὕτως ἔχοντα αὐτὸν νοήσας. ἔστι δὲ ἀπολάψεις ἐνταῦθα ἀντὶ τοῦ προστακτικοῦ. δείκνυται γὰρ ἐκ τῆς κατασκευῆς, ὅτι τοῦτο αἱ Νεφέλαι αὐτῷ ἐπιτάττουσιν. Junt., E. ἀπολάψεις : Ἀποκέρδησον, ἐμφορηθῇς. *Br.*]

ἀπολέψεις : [ Ἀπολεπίσεις. ἐὰν δὲ, ὡς ἐν τοῖς πολλοῖς, ἀπολάψεις, ἐκπίῃς· ἀπὸ τῶν κυνῶν ἡ μεταφορὰ, ἣ ὅσα λάπτοντα πίνει. καταστρέφει δὲ εἰς τὸ] ἀποκερδανεῖς, ἢ ἀφαρπάσεις, ἀποσπάσεις. Ὅμηρος [Il. II, 161]

λάψοντες γλώσσῃσιν [ἀραιῇσι μέλαν ὕδωρ].

812. [φιλεῖ γάρ πως : Ἔθος ἔχει, συμβαίνει γὰρ ἄλλως ἀποβαίνειν ἢ προσδοκᾷ τις. ἀντὶ τοῦ, εὐμετάβλητοί εἰσιν οἱ ἐξ ἐπιθυμίας ἀλόγου τινὶ συμβαλόντες. εὐμετάβολοι γὰρ αἱ τῶν τοιούτων ἀνδρῶν γνῶμαι. ἀσύμβουλοι δὲ, φησὶν, ὅτι καὶ ταχέως μεταβαλλόμενοι ἐπιθυμίας ἥττους ἁλίσκονται. ]

814. [οὔτοι μὰ τὴν Ὁμίχλην : Κορωνὶς ἑτέρα ὁμοία, οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι οε'. ὧν τελευταῖος

πρὸς πάντα τὰ δίκαι' ἀντιλέγειν δυνήσεται.

ἐπὶ τῷ τέλει κορωνὶς, καὶ ἑξῆς τὸ χοροῦ· ὤφειλε γὰρ κἀνταῦθα θεῖναι χορὸν, ἄχρις ἂν οἱ λόγοι ἐξέλθωσι. ] ὡς μύστης γεγενημένος τῶν φιλοσόφων τὴν Ὁμίχλην ὄμνυσι, μιμούμενος αὐτούς. V.

815. κίονας : Ἀντὶ τοῦ τοὺς λίθους τῆς Μεγακλέους οἰκίας· οὗτοι γὰρ μόνοι κατελείφθησαν αὐτῷ πάντα καταφαγόντι. R. [ ὡς ἅπαντα καταφαγόντος τοῦ Μεγακλέους. ὡς εἰ ἔλεγε τὸν πλοῦτον. ἐμφαίνει δὲ διὰ τούτων ὡς οὐδὲν αὐτῷ κατελείφθη, εἰ μὴ ἡ αὐλὴ Μεγακλέους. λέγει δὲ ὅτι πάντα κατηναλωκὼς καταλέλοιπε τοὺς λίθους τῆς οἰκίας· αἰνίττεται οὖν εἰς τὴν ἀσωτίαν τοῦ υἱοῦ, ὅτι πάντα κατηνάλωσεν αὐτοῦ, καὶ οὐδὲν ἔτι ὑπολείπεται. — Ἄλλως. ἐντεῦθεν δῆλον ὅτι ἐν κίοσιν ἵστατο ὁ οἶκος αὐτοῦ. δείκνυται δὲ ὅτι μόνοι οὗτοι ὑπελείφθησαν αὐτῷ τῶν ἄλλων καταναλωθέντων παρ' αὐτοῦ. Junt. ]

817. οὐχ εὖ φρονεῖς : Εἴ γε καὶ αὐτὸς ἐπετιμήθη ἐπὶ τούτοις παρὰ Σωκράτους. ταῦτα δὲ πειρᾶται διδάσκειν τὸν υἱὸν, καταγελῶν αὐτοῦ ὡς μὴ δεόντως μήτε Δία ὀμνύντος μήτε νομίζοντος. [ τοῦ δὲ Δία τὸ α ἐκτείνεσθαί φησι Σύμμαχος Ἀττικῶς. ἐνδεῖ δὲ τὸ χ. ]

819. τηλικουτονί : Οἷον, τελείαν ἔχοντα τὴν ἡλικίαν, καὶ ὀφείλοντα πάντα εἰδέναι. — σὲ ἤδη τελείαν ἔχοντα ἡλικίαν. *Vict.*

821. ἀρχαϊκά : Ἀντὶ τοῦ μωρὰ, εὐήθη, λῆρα. — ἀρχαῖοι οἱ μωροὶ ἐκαλοῦντο ἀπὸ τῶν ἐπὶ τοῦ Κρόνου ἐκείνων ἀρχαίων καὶ ἀπραγμόνων ἀνδρῶν. Junt.

824. ὅπως δὲ τοῦτο : Ὡς ἐπὶ τούτῳ φθονούντων τῶν διδασκάλων. ἢ ὡς καὶ αὐτὸς παρηγγέλθη [143] « νομίσαι δὲ ταῦτα χρὴ μυστήρια. » — Ἄλλως. τηρεῖ τὰς παραινέσεις ἃς παρῄνεσεν αὐτῷ πρότερον μαθητὴς Σωκράτους, ὅρα. *Br.*

825. [ἰδοὺ τί ἐστὶ : Πλησιάσας αὐτῷ φησὶ τὸ ἰδού.]

826. [αἰβοῖ : Γελῶν λέγει τὸ αἰβοῖ. ἔστι δὲ ἐπίρρημα σχετλιαστικόν.]

830. ὁ Μήλιος : Παρ' ἱστορίαν. Ἀθηναῖος γὰρ ὁ Σωκράτης· ἀλλ' ἐπεὶ Διαγόρας, Μήλιος ὢν, διεβάλλετο ὡς θεομάχος, καὶ τὸν Σωκράτη δὲ ὡς ἄθεον διαβάλλει, διὰ τοῦτο Μήλιον αὐτὸν εἶπεν. (Ἄλλως. Ἀρισταγόρας ἐγένετο Μήλιος διθυραμβοποιὸς, ὃς τὰ ἐν Ἐλευσῖνι μυστήρια ἐξορχησάμενος καὶ ἐξειπὼν ἀσεβέστατος ἐκρίθη. ἀπ' ἐκείνου οὖν τοὺς Μηλίους ἐπὶ ἀσεβείᾳ κωμῳδοῦσι. [οἱ δὲ Μήλιον, τὸν καταπραΰνοντα τῇ διδαχῇ τὰς ψυχὰς τῶν μαθητῶν. οἱ δὲ τὸν κομῶντα, τὸν δα-

σύν.] Ἄλλως. ὁ Μήλιος : Τινὲς ἐξεδέξαντο τὸν τὰς τῶν εἰσιόντων ψυχὰς ὀξύνοντα πρὶν εἰσελθεῖν ἠγριωμένας· ἀπὸ μεταφορᾶς τῶν ἀλόγων θηρίων, μῆλα γὰρ τὰ θρέμματα. οἱ δὲ εἰς τὸ δασὺ καὶ αὐχμηρὸν νοοῦσιν αὐτό. οἱ δὲ παρέλαβον οὕτως. Διαγόρας ὁ Μήλιος, ὃς τὸ μὲν πρότερον ἦν θεοσεβής, παρακαταθήκην δὲ ὑπό τινος ἀποστερηθείς, ἐπὶ τὸ ἄθεος εἶναι ἐξέδραμεν, ἐφ' ᾧ οἱ Ἀθηναῖοι ἀγανακτήσαντες, τὴν Μῆλον ἐκάκωσαν.) ⟦Ἄλλως. Διαγόρας γέγονέ τις βλάσφημος εἰς τὸ θεῖον, Μήλιος. καί ποτε, φασίν, ἐν πανδοκείῳ εὑρεθείς, καὶ μὴ εὑρὼν ξύλα, ἀλλ' ἄγαλμα Ἡρακλέους· ἄγε, φησί, τρισκαιδέκατον ἡμῖν ἐπιτέλει ἆθλον, καὶ ἕψησον τὸν φακόν. — ἄλλοι δέ φασιν ὡς οὗτος ὁ Διαγόρας διδάσκαλος ἦν Σωκράτους. LB., Cant. 2.⟧ — ψυλλῶν δὲ ἴχνη λέγει γινώσκειν τὸν Χαιρεφῶντα διὰ τὴν ζήτησιν, [145] ψύλλαν ὁπόσους ἅλλοιτο τοὺς αὐτῆς πόδας. R.V.

832. Ἀττικῶς τὸ μανιῶν ἀντὶ τοῦ (τῆς) μανίας. R. V. τὸ δὲ χολῶσιν ἀντὶ τοῦ μαινομένοις. V.

833. ⟦πείθειν : Οὐκ ἔστι τὸ πείθειν ἀντὶ τοῦ πείθεσθαι, ὥς τινές φασιν, ἵνα τὴν δοτικὴν συντάξωσιν· ἀλλ' ἔστιν ἡ τοιαύτη δοτικὴ πρὸς τὸ ἐλήλυθας, οὕτω. σὺ δὲ εἰς τοσοῦτον τῶν μανιῶν ἐλήλυθας ἀνδράσι χολῶσιν ὥστε πείθειν αὐτοὺς σέ. τουτέστιν, οὕτω τῆς αὐτῶν μανίας μετέσχες, ὥστε καὶ πείθειν σε περὶ τῶν ματαίων. C.⟧

834. ἀντὶ τοῦ εὐφήμει καὶ μηδεμίαν εἴπῃς περὶ αὐτῶν ἁμαρτίαν. λείπει ἡ εἰς, ἵν' ᾖ εἰς ἄνδρας δεξιούς. V. ἀντὶ τοῦ εὐφήμει καὶ μηδὲν εἴπῃς περὶ αὐτῶν βλάσφημον. R. φλαῦρον : ἀντὶ τοῦ κακόν. R.V.

835. ὑπὸ τῆς φειδωλίας : (Ὡς κομῶντας διαβάλλει τοὺς φιλοσόφους. ταῦτα δὲ ἐποίουν οἱ φιλόσοφοι διὰ καρτερίαν. ὁ δέ φησιν ὅτι οὐ διὰ ἀρετὴν ταῦτ' ἐποίουν, ἀλλὰ διὰ σμικρολογίαν. ἃ γοῦν ὑπ' ἐγκρατείας ἐποίουν οὗτοι, οὗτος ὑπὸ φειδωλίας φησίν.) δοκῶν ἐπαινεῖν, ψέγει. ἀντὶ γὰρ τοῦ εἰπεῖν καρτερίας εἶπε φειδωλίας.

838. καταλούει μου : ⟦Ἐντρυφᾷς, καταναλίσκεις τὴν περιουσίαν. τὸ δὲ καταλούει, καταναλίσκεις εἰς λουτρά. ἤδη γὰρ ὥσπερ τεθνεῶτός μου καταλούει. Ἄλλως. δαψιλῶς ἀναλίσκεις μου τὸν βίον. ἐκ μεταφορᾶς τῶν ἐκχυνομένων ὑδάτων ἐν τοῖς βαλανείοις. ἢ ἐντρυφᾷς, ὡς καὶ τοῦ βαλανείου διὰ τρυφὴν ὄντος.⟧ ἔθος ἦν μετὰ τὸ ἐκκομισθῆναι τὸ σῶμα καθαρμοῦ χάριν ἀπολούεσθαι τοὺς οἰκείους τοῦ τεθνεῶτος. λέγει δὲ ὅτι εἰς τρυφὴν καταναλίσκεις. (τὴν δὲ κατὰ πρόθεσιν εἰς ἐπίτασιν παραλαμβάνουσιν, ὡς ἐπὶ τοῦ καταφαγεῖν. οὕτως δὲ ἐπὶ τοῦ καταλούει μου τὸν βίον.) βίον δὲ τὴν περιουσίαν. ἢ εἰς λουτρὰ καταναλίσκεις. — καταλούει : Δαπανᾷς, ἀφανίζεις. *Br.*

841. ἀληθες : Ἐὰν μὲν προπαροξυτόνως, αὐτὸ τὸ ἀληθὲς λέγει, ἐὰν δὲ ὀξυτόνως, τὸ πρᾶγμα δηλοῖ τὸ μετέχον τῆς ἀληθείας. — ἀντὶ τοῦ ἀληθῶς πάνυ. οὕτω λέγει ἐπὶ τοῦ ἐπιρρηματικοῦ. R.V.

842. ἀντὶ τοῦ ἀναίσθητος, ἀνόητος, παχὺς εἰς τὸ νοεῖν. R.V.

844. (οἴμοι τί δράσω : Πρὸς τὸν πατέρα δικάσομαι καὶ δείξας αὐτὸν μαινόμενον, οὕτω τὴν μανίαν παύσω.)

845. παρανοίας : Ἀντὶ τοῦ κατηγορήσω αὐτοῦ ὡς παραφρονοῦντος. — παρανοίας : Παραφροσύνης. εἰσαγαγὼν : Εἰς δικαστήριον. ἕλω : Νικήσω, λάβω. *Br.*

846. σοροπηγοῖς : ⟦Τουτέστι τοῖς ποιοῦσι σοροὺς τοῖς νεκροῖς. χλευάζει δὲ τὸν πατέρα ὡς πρεσβύτην καὶ γειτονεύοντα τῷ θανάτῳ. Ἄλλως. τοῖς σοροποιοῖς,⟧ τοῖς τὰς σοροὺς τῶν ἀποθνησκόντων ποιοῦσι. τουτέστιν ἄλλην ἴασιν οὐκ ἔχει ἢ τὸν θάνατον· καὶ δέον αὐτῷ πρὸς τὴν ταφὴν τὰ ἐπιτήδεια κατασκευάζειν, ἵνα ποιήσωσιν αὐτῷ σορὸν δηλονότι ἐγγὺς ὄντι θανάτου. — τοῖς νεκροθάπταις· ἄξια γὰρ θανάτου πράττει. *Br.*

850. ἀντὶ τοῦ οὕτως καλέσῃς.

853. τοὺς γηγενεῖς : Διὰ τὸ νεκρώδεις αὐτοὺς εἶναι καὶ ὠχρούς. ἢ ἀσεβεῖς καὶ θεομάχους, διὰ τοὺς γίγαντας. — γηγενεῖς αὐτοὺς καλεῖ, ὡς ὑπὸ γῆν διατρίβοντας, ὥσπερ μύας· ἢ ὡς ἀσεβεῖς καὶ θεομάχους. τοιοῦτοι γὰρ ἦσαν καὶ οἱ γίγαντες. Br.

855. ὑπὸ τοῦ πλήθους τῶν ἐτῶν, ἀντὶ τοῦ ὑπὸ τοῦ γήρως. προεῖπε γὰρ [129] « πῶς οὖν γέρων ὢν κἀπιλήσμων (καὶ βραδὺς λόγων ἀκριβῶν σκινδαλμοὺς μαθήσομαι); » R. V.

857. καταπεφρόντικα : Εἰς τοὺς φροντιστὰς ἀνάλωσα. ⟦ὡς εἰ ἔλεγε, καταπεφρόνηκα. ἢ⟧ εἰς τὴν παίδευσιν καταδεδαπάνηκα. — τοῖς φροντισταῖς ἀφῆκα. *E.*

858. τέτροφας : Κατέφαγες, ἐτράφης. *Br.*

859. ὥσπερ Περικλέης : ⟦Περικλῆς πολλῶν ὄντων χρημάτων ἐν τῇ ἀκροπόλει, εἰς τὸν πόλεμον τὰ πλεῖστα ἀνάλωσε. φασὶ δὲ ὅτι καὶ λογισμοὺς διδοὺς, τάλαντα εἴκοσιν ἁπλῶς εἶπεν εἰς τὸ δέον ἀνηλωκέναι. φησὶ δὲ Ἔφορος ὅτι μετὰ ταῦτα μαθόντες οἱ Λακεδαιμόνιοι Κλεανδρίδην μὲν ἐδήμευσαν, Πλειστοάνακτα δὲ ιε' ταλάντοις ἐζημίωσαν, ὑπολαβόντες δωροδοκήσαντας αὐτούς, διὰ τὸ φείσασθαι τῆς λοιπῆς Ἀθηναίων γῆς, ὑπὸ τῶν περὶ τὸν Περικλέα, μὴ θελήσαντα γυμνῶς εἰπεῖν ὅτι δέδωκα τοῖς Λακεδαιμονίων βασιλεῦσι τὸ ἐνδεές. Ἄλλως. Περικλῆς, Ἀθηναίων στρατηγός, χρήματα τοῦ δημοσίου λαβὼν εἰς τὸ κατασκευάσαι ὁλόχρυσον ἄγαλμα τῇ Ἀθηνᾷ, ἐλεφάντινον ποιήσας, τὰ πολλὰ ἐσφετερίσατο, συμποιησάμενος μετὰ Φειδίου τοῦ πλάστου. ἐπεὶ δὲ κατακρινόμενος ὡς πλεῖστα ἀναλώσας ἠρωτᾶτο ποῦ ἀνηλώθη, ὑπὸ μεγαλονοίας ἔλεγεν, εἰς τὸ δέον ἀνήλωσα. Ἄλλως. Περικλῆς τοῖς ἐφόροις Λακεδαιμονίων Κλεανδρίδῃ καὶ Πλειστοάνακτι χρήματα δέδωκεν ὑπὲρ προδόσεως, καὶ τούτων ἀπαιτούμενος ὑπὸ τῆς πόλεως λόγον, οὐκ ἀξιῶν ἑαυτόν τε καὶ τοὺς Λακεδαιμονίους καταισχύνειν, ἔλεγεν, εἰς τὸ δέον ἀνήλωσα. τοῦτο δὲ γνόντες οἱ Λακεδαιμόνιοι τὸν μὲν Κλεανδρίδην ἐφόνευσαν, τὸν δὲ Πλειστοάνακτα δεκαπέντε ταλάντοις ἐζημίωσαν, οἰηθέντες αὐτοὺς, διὰ τὸ φείσασθαι τῆς λοιπῆς Ἀθηναίων γῆς, δωροδοκήσαντας ἐκ τῆς Ἀττικῆς ἀναχωρῆσαι. Περικλῆς Ἀθηναίων στρατηγὸς λόγον ἀπαιτούμενος ὑπὲρ χρημάτων καὶ δεδωκὼς χρήματα Κλεανδρίδῃ τῷ

ἁρμοστῇ Λακεδαιμονίων ἐπὶ προδοσίᾳ, τοῦτο οὐκ ἐδήλου, ἀλλ' εἰς τὸ δέον ἔλεγεν ἀναλῶσαι ταῦτα. R. V.

860. εἶτα τῷ πατρὶ : Προτρεπόμενος αὐτὸν τρίτον τὸ αὐτὸ λέγει. V. ἀντὶ τοῦ, ἔχεις ἀπολογίαν ὅτι πατρὶ πειθόμενος ἥμαρτες. σφάληθι καὶ ἁμάρτανε δι' ἐμέ. — ἴθι βάδιζ' : Πορεύου, παραγενοῦ. *Vict.*

862. Οὕτως Ἀττικοὶ βαρύνουσιν ἐξέτει. V. τραυλίσαντι : ἀντὶ τοῦ ψελλίζοντι, ἄσημον φωνὴν προϊέντι. ἡλιαστικὸν δὲ, ἀντὶ τοῦ ἐκκλησιαστικόν. (ἡλιαία δὲ, τὸ δικαστήριον, διὰ τὸ ὑπαίθριον εἶναι καὶ τῷ ἡλίῳ βάλλεσθαι.) οὐχ ἵστατο δὲ ὁ τῶν δικαστῶν μισθός.

864. Διασίοις : [Ἑορτὴ τοῦ Διός. ἁμαξὶς δὲ, τὸ μικρὸν ἁμάξιον, ἢ πλακοῦντος εἶδος. ] Διάσια, ἑορτὴ τοῦ Διὸς παρ' Ἀθηναίοις. ἁμαξὶς δὲ πλακοῦντος εἶδος, ἣν νῦν κοπτὴν φαμέν. Σύμμαχος δὲ τὸ μικρὸν ἁμάξιον. ταῦτα γὰρ τοῖς παιδίοις ἠγόραζον. R. V.

865. ἦ μὴν σὺ τούτοις : [Προαναφωνεῖ αὐτῷ ἃ μέλλει ποιήσειν.] ἀντὶ τοῦ λυπηθήσῃ ποτὲ, ἐὰν μάθω δηλονότι. (τοῦτο δὲ λέγει πεισθεὶς τῷ πατρί. διὸ καὶ ὁ πατὴρ ἐπιφέρει, εὖ γ' ὅτι ἐπείσθης.)

868. νηπύτιος γάρ : Ἀντὶ τοῦ νήπιος. ἐπεκτείνει δὲ τὸ ὄνομα ὁ Σωκράτης, ἵνα καταπλήξῃ τὸν νεώτερον (νῦν εἰσελθόντα). — νηπύτιος : Ἄφρων, ἀνόητος. *Vict.*

870. (ἐφ' ὧν κρέμανται οἱ φιλόσοφοι.) Ἄλλως. τῶν ὀργάνων τῶν ἀστρονομικῶν καὶ γεωμετρικῶν. κρέμαται γὰρ ἐν τῷ φροντιστηρίῳ. οὕτω μὲν, εἰ κρεμαστῶν γράφεται. τῶν κρεμαστρῶν δηλονότι τετριμμένος εἴης ἀεὶ κρεμάμενος.

872. [ἰδοὺ κρέμαιό γε : Διώκων ὁ Σωκράτης τῇ φωνῇ ἐρεῖ μιμούμενος, ὅτι κακῶς τῷ στόματι εἶπε τὸ κρέμαιό γε.]

873. καὶ τοῖσι χείλεσι διερρυηκόσι : Ὡς μωρὸν καὶ ἀπαίδευτον καὶ ἀνόητον διακεχηνόσι τοῖς χείλεσι (τῇ φωνῇ μιμούμενος ὁ Σωκράτης φησί). — διακεχηνόσι. *Br.*

875. κλῆσιν : Τὴν μαρτυρίαν. χαύνωσιν δὲ τὴν λύσιν τῶν δικῶν, οἷον ἀπάτην καὶ κενὰ ῥήματα ἀναπείθοντα τοὺς ἀκούοντας. (Ἄλλως. χαύνωσιν ἀναπειστηρίαν, ὅταν τοῦ ἀντιδίκου προβάλλοντος λόγους πιθανοὺς, εἰς τοὐναντίον τις αὐτοὺς περιτρέψῃ, καὶ χαύνους καὶ ἀσθενεῖς ποιήσῃ, διὰ τῶν λόγων αὐτοῦ ἀναπείσας τοὺς δικαστὰς, ὡς ἄρ' ἀληθῆ λέγει.)

876. [καί τοι ταλάντου : Ἀξιοπιστεύονται οἱ διδάσκαλοι λέγοντες, ἔλαττον τοσοῦδε οὐ λαμβάνω ἐπὶ τούτῳ τῷ ἀναγνώσματι. καὶ ἐπαγέλλονται προνοήσασθαι τῶν καινῶν μαθημάτων, ὅσων προνοοῦσι μάλιστα.]

877. θυμόσοφός ἐστι : Ἀντὶ τοῦ εὐφυὴς, εὐμαθὴς, ἐκ τοῦ ἰδίου θυμοῦ σοφὸς καὶ οὐκ ἐκ μαθήσεως.

878. δεικτικῶς ἀντὶ τοῦ μικρόν. R. V.

879. ἀντὶ τοῦ οἰκίας ἐποίει ἀπὸ πηλοῦ, οἷα εἰώθασιν οἱ παῖδες ποιεῖν. R. V.

880. σκυτίνας : δερματίνας. R. V.

881. σιδίων : Ἐκ τῶν λεπύρων τῶν ῥοιῶν. τὰ παιδία ἐκ μὲν τῶν δερμάτων περιέτεμνε τροχοὺς καὶ ἁμάξια, ἐκ δὲ τῶν ῥοιῶν ὅταν καταφάγωσι τὰ ἐντὸς, ἐκ τῶν λεπύρων βατράχια ἔγλυφεν. [εἶτα τὸ πῶς δοκεῖς, θαυμάζων προφέρεται καθ' ἑαυτόν. βούλεται δὲ αὐτὸν ὡς ἐκ παιδὸς ἀποδεῖξαι εὐφυᾶ, καὶ γλύφειν ἀστείως δυνάμενον.] — τὸ δὲ πῶς δοκεῖς ὡς θαυμάζων λέγει. R. V.

882. μαθήσεται : Γνώσεται, ὅντινα δεῖ μαθεῖν. *R.*

883. τὸν ἥττονα : Ὃς τἄδικα λέγων ἀνατρέπει τὸν κρείττονα. *Vict.*

885. ἐὰν δὲ μὴ οἷός τ' ᾖ τοὺς δύο μαθεῖν, παντὶ τρόπῳ τὸν ἄδικον μαθήσεται. R. V.

886. ἀντὶ τοῦ αὐτοὶ οἱ λόγοι διδάξουσιν αὐτόν. V.

(889). χώρει δευρί. δεῖξον σαυτὸν : Διπλῆ καὶ κορωνὶς ἀποχωρησάντων τῶν ὑποκριτῶν. μέλος δὲ τοῦ χοροῦ οὐ κεῖται, ἀλλὰ γέγραπται μὲν ἐν μέσῳ χοροῦ, καὶ ἕπεται εἴσθεσις ἀναπαιστικὴ τῶν ὑποκριτῶν· διὸ καὶ τὰ πρόσωπα οὐ τελείας ἔχει τὰς συζυγίας. ἔστι δὲ τὰ πάντα κῶλα οδ', ὧν τὰ πρῶτα δ' ἀναπαιστικά. ὑπόκεινται ἐπὶ τῆς σκηνῆς ἐν πλεκτοῖς οἰκίσκοις οἱ λόγοι δίκην ὀρνίθων μαχόμενοι. τὸ τοῦ χοροῦ πρόσωπον ἐκλέλοιπεν. ἐπιγραφὴ δὲ φέρεται χοροῦ. ὁ δὲ κρείττων λόγος καὶ ὁ ἥττων διαλέγονται. [Ἄλλως. χώρει δευρὶ : Εἴσθεσις διπλῆς κατὰ σχῆμα δικανικὸν ἐκ κώλων ἀναπαιστικῶν με'. ὧν τὸ κη' τὸ λε' καὶ τὸ λθ' μονόμετρα ἀκατάληκτα, τὰ δὲ λοιπὰ πάντα δίμετρα ἀκατάληκτα, τῶν δύο προσώπων ὡς ἐπιτοπλεῖστον δίμετρον κῶλον ἀποτελούντων, ὧν τὸ τελευταῖον

κλαύσει· τὴν χεῖρ' ἐπιβάλλεις,

ἐφθημιμερές. ἰστέον δὲ ὅτι τὸ κη' κῶλον τετράβραχυν ἔχει, ἤτοι προκελευσματικὸν τὸν πρῶτον πόδα ἀντὶ ἀναπαίστου. διαλύεται γὰρ ἡ μακρὰ τοῦ ἀναπαίστου εἰς δύο βραχείας· ὡς καὶ τοῦ ἰάμβου καὶ τοῦ τροχαίου καὶ τῶν λοιπῶν τετρασυλλάβων ποδῶν. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα.] ὁ κρείττων λόγος καὶ ὁ ἥττων διαλέγονται. R.

891. (ἴθ' ὅποι χρῄζεις : Ἴθι, πορεύου. πάντα δὲ ἐκ Τηλέφου Εὐριπίδου.

ἴθ' ὅποι χρῄζεις· οὐκ ἀπολοῦμαι
τῆς σῆς Ἑλένης οὕνεκα.)

892. ἐν τοῖς πολλοῖσι : Ἐνώπιον πολλῶν. *Br.* σ' ἐν τοῖς πολλοῖσι : Ἐνώπιον πολλῶν παρόντων. *Vict.*

896. [γνώμας καινὰς : Ὡς παρορωμένου τοῦ δικαίου παρὰ Ἀθηναίοις. διὸ καὶ μωροὺς αὐτοὺς εἶπεν.]

897. διὰ τουτουσὶ : Διαβάλλει τοὺς Ἀθηναίους ὡς ἀδικίᾳ χαίροντας, τὸ δὲ δίκαιον παρορῶντας. E.

905. τὸν πατέρα οὐκ ἀπώλεσε δήσας : ἐρωτηματικῶς, ὅτι παιδοκτόνος ἦν. R. V. τὸν πατέρα αὐτοῦ Κρόνον οὐκ ἔφθειρε δεσμεύσας. *Harl.* 5.

906. αἰβοῖ : γελᾷ ὁ δίκαιος. R. V.

907. δότε μοι λεκάνην : (Ὡς ναυτιῶν ὑπὸ τῆς ἐκείνου ψυχρίας.) λείπει τὸ ἵνα ἐμέσω. χολὴ γάρ μοι ἐπιπλέει διὰ τὰ αὐτοῦ ῥήματα. — χωρεῖ : Αὔξει, προβαίνει. δότε μοι λεκάνην : Ἵν' ἐμέσω. *Br.*

908. τυφογέρων : Ἐσχατόγηρως ἢ ὑπερήφανος. τὸ δὲ ἀνάρμοστος ἀνακόλουθος, μηδενὶ ἁρμοζόμενος. V. μάταιος γέρων, κενόδοξος. ἀνάρμοστος : Ἀηδὴς, ἀνεπιτήδειος. *Br*. ἄρρυθμος, ἀηδὴς, ἄμουσος. *Vict.*

909. ἀναίσχυντος : Ἀναιδής. *Vict.*

910. ῥόδα μ' εἴρηκας : Ἀντὶ τοῦ, ἐμοὶ τὰ ὑπὸ σοῦ εἰρημένα ῥόδα ἐστί.

βωμολόχος : Ἀντὶ τοῦ κακοῦργος καὶ ἀσεβής. παρὰ τοὺς λοχῶντας τὰ ἐν τοῖς βωμοῖς ἐπιτιθέμενα θύματα, (ἢ τοὺς θύοντας, ἵνα αἰτήσαντες λάβωσί τι). [βωμολοχία δὲ κυρίως ἡ περὶ τὸ ἐν παιδιᾷ ἡδὺ, ὡς Ἀριστοτέλης ἐν δευτέρῳ Ἠθικῶν [c. 7], ὑπερβολή. βωμολόχοι τοίνυν οἱ ἐν τοῖς βωμοῖς ἐρχόμενοι, καὶ ἀντὶ τοῦ τὸ θεῖον εὐχαῖς ἐξιλεοῦν πολλοῖς τισι λόγοις χρώμενοι καὶ ματαίοις.]

911. κρίνεσιν : Οὕτως ἔκλινεν ὡς ἀπὸ τοῦ τὸ κρίνος, ὡς τὸ τεῖχος. τινὲς δέ φασι μεταπλασμὸν εἶναι. — κρίνεσι : Κρίνον κοινῶς· κρίνος Ἀττικῶς, καὶ κλίνεται τοῦ κρίνεος, νους. ἡ δοτικὴ τῶν πληθ. τοῖς κρίνεσίν ἐστι. πατραλοίας : Πατροτύπτης. *Vict.*

913. πρὸ τοῦ γ' : Πρὸ τοῦ χρυσῷ. μολίβδῳ δὲ, ἀτιμίᾳ· ὡς νυνὶ μᾶλλον τῶν κακῶν ἀνθούντων. διὸ καὶ ἐκεῖνος ἐπιφέρει

νῦν δέ γε κόσμος τοῦτ' ἔστιν ἐμοί.

915. ἀρχαῖος : λῆρος. R.V.

916. διὰ σὲ δὲ φοιτᾶν : Τοῦ αὐτοῦ δεῖ πάντα εἶναι τοῦ ἥττονος λόγου. οὐ θέλει γὰρ, φησὶ, τὰ μειράκια διὰ τὴν σὴν εὐήθειαν φοιτᾶν, ὡς μαθησόμενα τὰ χρήσιμα μαθήματα. — λείπει τὸ πρὸς ἐμέ. R.

920. αὐχμεῖς : Ῥυπαρὸς εἶναι δοκεῖς. ὡς τοῦ δικαίου παρορωμένου. R. V. πτωχεύεις. αἰσχρῶς : Ἀτίμως. *Vict.* εὖ πράττεις : ἀντὶ τοῦ καλῶς λέγεις. R.V.

919. Τήλεφος εἶναι : Διαβάλλει Εὐριπίδην, ὡς πτωχὸν εἰσενεγκόντα τὸν Τήλεφον, περὶ οὗ καὶ κωμῳδεῖται. [Ἄλλως. ὁ Τήλεφος βασιλεὺς ἦν Μυσίας, ὃν πλανηθέντων, ὅτε εἰς Τροίαν ἀπήρχοντο, τῶν Ἑλλήνων καὶ δῃούντων τὴν αὐτοῦ γῆν ἀντὶ τῆς Τροίας, Ἀχιλλεὺς ἔτρωσεν· καὶ πάλιν ἀποροῦντα τοῦ θεραπεύσοντος, τῆς Πυθίας, ὁ τρώσας ἰάσεται, ἀνελούσης, παραγενόμενον εἰς Θετταλίαν τῷ χρησμῷ πεισθεὶς θεραπείας ἠξίωσε. δυστυχήσαντα δὲ ὕστερον πεποίηκεν Εὐριπίδης ἐν δράματι πήραν ἔχοντα καὶ προσαιτοῦντα. ἀντὶ δὲ τοῦ εἰπεῖν, ἄρτους καθαροὺς ἢ ξηροὺς τρώγων, Πανδελετείους γνώμας εἶπε, διαβάλλων αὐτὸν κατ' ἄμφω, καὶ ὡς ἄτιμον καὶ ὡς πανοῦργον. ἐπὶ γὰρ πανουργίᾳ διεβεβόητο ὁ Πανδέλετος. συκοφάντης δὲ ἦν καὶ φιλόδικος γράφων ψηφίσματα. Πανδελετείους οὖν οὕτως εἶπεν ἀντὶ ἄρτων πανουργίαν σιτούμενος μέμνηται τοῦ Πανδελέτου καὶ Κρατῖνος Χείρωσιν. οὗτος καὶ ψηφίσματα ἔγραψε. διαβάλλει δὲ τοὺς ῥήτορας ὡς ἐκ τῶν πτωχῶν πλουτοῦντας.] Πανδελετείους : Δυστρόπους. ὁ Πανδέλετος τῶν περὶ τὰ δικαστήρια ἐστὶ διατριβόντων (δικαστῶν ἢ καὶ) συκοφαντῶν (ἤγουν ὁ φιλοδίκαιος καὶ γράφων ψηφίσματα.) ἀντὶ τοῦ εἰπεῖν ξηροὺς ἄρτους γνώμας (καινὰς) εἶπεν. R.V. παρ' ὑπόνοιαν ἀντὶ τοῦ ἄρτους. *Vict.*

928. (λυμαινόμενον : Ἀντὶ τοῦ ἐνυβρίζοντα. οὕτως δὲ αὐτοῖς σύνηθες συντάσσειν, οὐχὶ, τὰ μειράκια λυμαινόμενον·) [πρὸς ὃ καὶ τὸ χ.]

929. ἀντὶ τοῦ οὐκ ἐῶ σε διδάξαι. τὸ δὲ Κρόνος ἀντὶ τοῦ ἀρχαῖος, λῆρος. — ἄφρων. *Br*. τοῦτον : Τὸν Φειδιππίδην. Κρόνος : Μωρὸς, ἀφυής. *Vict.*

930. διδάξω. R.

933. ταῦτά φησιν ἐπιλαβόμενος τοῦ μειρακίου. R. V. ἐπιβάλλεις : Αὐτῷ. *Vict.*

934. [παύσασθε μάχης : Ἔκθεσις τῆς διπλῆς συστηματικὴ, εἰς δύο περιόδους διῃρημένη ἐκ κώλων ὁμοίων ἀναπαιστικῶν ιε'· ὧν τῆς πρώτης περιόδου κῶλα δίμετρα ἀκατάληκτα ε'. καὶ ἐν ἐκθέσει ἕτερα δύο ὅμοια δίμετρα ἀκατάληκτα. τῆς δὲ δευτέρας περιόδου κῶλα ὀκτώ· ὧν τὸ πρῶτον μονόμετρον ἀκατάληκτον. τὰ ἑξῆς ἓξ δίμετρα ἀκατάληκτα· τὸ δὲ τελευταῖον ἐφθημιμερὲς, ὃ καλεῖται παροιμιακόν. ἐπὶ τῷ τέλει τοῦ πρώτου συστήματος παράγραφος· ἐπὶ δὲ τῷ τέλει τοῦ δευτέρου δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος.]

936. τῷ δικαίῳ φησί. R.

937. τῷ ἀδίκῳ. R.

939. κρίνας φοιτᾷ : Ἀντὶ τοῦ φοιτήσει. ἐὰν δὲ ᾖ φοιτᾶν μετὰ τοῦ ν, λείπει ποιήσω τὸν παῖδα φοιτῆσαι τῷ ἐλλογιμωτέρῳ. — κρίνας : Ἐκλεξάμενος ἕνα ὑμῶν παρ' αὐτῷ. *Vict.*

940. ἀντὶ τοῦ ἄγε δή. R.

941. ἐκ τῶν αὐτοῦ. R.

943. ἀντὶ τοῦ μικροῖς. R.

947. ὑπ' ἀνθρηνῶν : Οἱ ποιηταὶ τὰς μελίσσας οὕτω συνεχῶς λέγουσιν. ὁ δὲ Ἀριστοτέλης [Hist. an. 9, 40, 42] συγγενῆ τῇ μελίσσῃ τὴν ἀνθρήνην φησί. (κοινότερον δὲ ἐπὶ τῶν μελισσῶν τὰς ἀνθρήνας λέγουσιν. ἔστι δὲ εἶδος μελίσσης, ὅμοιον σφηξί.)

949. [νῦν δείξετον : Εἴσθεσις μέλους χοροῦ προῳδικὴ, στροφῆς λόγον ἔχουσα. ἔχει γὰρ καὶ ἀντιστροφὴν τὸ

ὦ καλλίπυργον σοφίαν,

ἐκ κώλων χοριαμβικῶν διαφόρως κεκολλημένων δέκα. ὧν τὸ πρῶτον δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου τρίτου καὶ χοριάμβου. τὸ δεύτερον ἐκ χοριάμβου καὶ ἀμφιβράχεος. τὸ τρίτον ἐκ διιάμβου καὶ χοριάμβου. τὸ τέταρτον ἐκ χοριάμβου καὶ βακχείου. τὸ πέμπτον ἀντιστρόφως τῷ πρώτῳ ἐκ χοριάμβου καὶ ἐπιτρίτου τρίτου. τὸ ἕκτον ἐξ ἀντισπάστου καὶ κρητικοῦ εἴτ' οὖν ἀμφιμάκρου. τὸ ἕβδομον χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον. τὸ ὄγδοον ἐξ ἀντισπάστου καὶ ἰάμβου, διὰ τὸ ἔχειν τὸν ὅλον πόδα τὸν τετρασύλλαβον καὶ τὸ ἥμισυ αὐτοῦ, τὰς δύο δηλαδὴ συλλαβὰς, ἡμιόλιον καλούμενον. τὸ ἔνατον ἐκ χοριάμβου καὶ διιάμβου. τὸ δέκατον ἐκ χοριάμβου καὶ ἀμφιβράχεος.]

τῷ πισύνῳ : Οἱ πίσυνοι. R. οἱ θαρροῦντες. φροντίσι : Σκέψεσι. γνωμοτύποις : Ταῖς κατὰ νοῦν τυπουμέναις. *Br.*

956. ἀνεῖται : Κεῖται, δέδοται· νῦν πρόκειται ἡμῖν ὑπὲρ ἁπάσης τῆς σοφίας κινδυνεῦσαι. ἤγουν παράστασις καταλέλειπται.

959. στεφανώσας : Κοσμήσας. λέγει δὲ τοῦτο πρὸς τὸν δίκαιον. R. V.

958. [λέξω τοίνυν : Εἴσθεσις διπλῆς περιοδικῆς ἀμοιβαίας μονοστροφικῆς ὑφ' ἕν, διὰ τὸ εἰς μῆκος ἐκτείνεσθαι τὴν περίοδον ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν μζ', ὧν τελευταῖος

ἦρος ἐν ὥρᾳ χαίρων ὁπόταν πλάτανος πτελέᾳ ψιθυρίζῃ.

τοῦτο δὲ τὸ μέτρον Ἀριστοφάνειον καλεῖται. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος· ἐπὶ δὲ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα.] — ταῦτα ἄγαν Ἀριστοφάνης ἀπεδέχετο ὡς εὖ πεποιημένα. V.

962. λέγων ἤνθουν : Εὐδοκίμησα λέγων.

963. γρύξαντος : Μουγγρίσαντος. *Br.*

964. [εἰς κιθαριστοῦ : Οὕτως Ἀττικοί. ἐσπούδαζον γὰρ περὶ τὴν κιθάραν οἱ Ἀθηναῖοι τότε μὴ φροντίζοντες τοῦ καλύπτεσθαι.] — ἀπὸ κοινοῦ τὸ ἔδει. V.

965. (κωμήτας : Τὸ χ, ὅτι κωμήτας τοὺς ἐκ τοῦ αὐτοῦ ἀμφόδου καὶ τόπου ἔλεγεν.)

[κριμνώδη : Ἀντὶ τοῦ παχεῖαν σύστασιν ἔχοντα· παρὰ τοὺς κρίμνους. οὗτοι γὰρ παχύτεροι τῶν ἀλεύρων. κρίμνος γὰρ εἶδος ἀλεύρου.] κριμνώδη : ἀντὶ τοῦ μεγάλα. V. ψυχρότατα. *E.*

[κριμνώδη : Γράφεται καὶ κριμνώδη καὶ κρυμώδη. καὶ κριμνώδη μὲν ἤγουν μέγιστα καὶ παχέα δίκην κρίμνων, ἤγουν κριθῶν. οἱ δὲ κρίμνον φασὶ τὸ παχύτερον τῶν ἀλεύρων· τὰ γὰρ παχύτερα τῶν ἀλεύρων καὶ πιτυρώδη καὶ κριθώδη. εἰ δὲ γράφεται κρυμώδη, ἀντὶ τοῦ ψυχρότερα. Victor.] κριμνώδη : κρίμμα εἶδος ἀλεύρου, ἐξ οὗ ἡ παιπάλη γίνεται, ὅ ἐστι τὸ ἄλευρον. καὶ τὸ λευκαίνειν παλύνειν. Ὅμηρος [Il. K, 7] « ὅτε « πέρ τε χιὼν ἐπάλυνεν ἀρούρας. » R. V.

966. (τὼ μηρὼ μὴ ξυνέχοντας : Ἀντὶ τοῦ, μὴ σφίγγοντας, οἷον ἀνειμένως διάγοντας καὶ μὴ ἐκθλίβοντας τὰ αἰδοῖα ἐκ τοῦ συνέχειν τοὺς μηρούς.)

967. Παλλάδα : Ἀρχὴ ᾄσματος Φρυνίχου, ὡς Ἐρατοσθένης φησί. Φρύνιχος δὲ αὐτοῦ τούτου τοῦ ᾄσματος μνημονεύει ὡς Λαμπροκλέους ὄντος,

Παλλάδα περσέπολιν κλῄζω πολεμαδόκον ἁγνάν,
παῖδα Διὸς μεγάλου δαμάσιππον.

τὸ δὲ, τηλέπορόν τι βόαμα, καὶ τοῦτο μέλους ἀρχή. φασὶ δὲ μὴ εὑρίσκεσθαι ὅτου ποτ' ἐστίν. ἐν γὰρ ἀποσπάσματι ἐν τῇ βιβλιοθήκῃ εὑρεῖν Ἀριστοφάνη. τινὲς δέ φασι Κυδίου τινὸς Ἑρμιονέως, « τηλεπορόν τι βόημα λύρας. » (σημαίνει δὲ τηλέπορον ὀρθόν τι καὶ ὑψηλόν.) [Ἄλλως. οὕτως Ἐρατοσθένης. Φρύνιχος αὐτοῦ τούτου τοῦ ᾄσματος μέμνηται ὡς Λαμπροκλέους ὄντος, τοῦ Μίδωνος υἱοῦ ἢ μαθητοῦ. ἔχει δὲ οὕτως,

Παλλάδα περσέπολιν κλῄζω, πολεμαδόκον ἁγνὰν,
παῖδα Διὸς μεγάλου δαμάσιππον.

καὶ κατὰ Λαμπροκλέα ὑποτίθησι κατὰ λέξιν. τὸ δὲ, τηλέπορον βόημα, Κυδίου τοῦ Ἑρμιονέως κιθαρῳδοῦ, ἀπό τινος τῶν ᾀσμάτων « τηλέπορόν τι βόαμα λύρας. »]

968. τὴν ἁρμονίαν : Τὴν κιθάραν, ὡς συντόνου οὔσης τῆς παλαιᾶς ἁρμονίας, οὐκ ἀνειμένης, ὡς οἱ νέοι ἐπενόησαν.

969. βωμολοχεύσαιτ' : (Ἀγοραῖόν τι εἴποι ἢ εὐτελές. τὸ δὲ κάμψειέν τινα καμπὴν,) οἱονεὶ κεκλασμένῃ τῇ φωνῇ τὴν ᾠδὴν προενέγκοιτο. — βωμολοχεύσαιτ' : Φλυαρῆσαι. κάμψειεν : Ἐν κεκλασμένῃ τῇ φωνῇ τὴν ᾠδὴν παραφέροι, παρηχήσειε παρήχησιν τοῦ μέλους. *Br.*

971. κατὰ Φρῦνιν : Ὁ Φρῦνις κιθαρῳδὸς Μυτιληναῖος. οὗτος δὲ δοκεῖ πρῶτος κιθαρίσαι παρ' Ἀθηναίοις καὶ νικῆσαι Παναθηναίοις ἐπὶ Καλλίου ἄρχοντος. ἦν δὲ Ἀριστοκλείδου μαθητής. ὁ δὲ Ἀριστοκλείδης κιθαρῳδὸς ἦν ἄριστος. [τὸ γένος ἦν ἀπὸ Τερπάνδρου. ἤκμασε δ' ἐν τῇ Ἑλλάδι κατὰ τὰ Μηδικά. παραλαβὼν δὲ τὸν Φρῦνιν αὐλῳδοῦντα κιθαρίζειν ἐδίδαξεν. ὁ δὲ Ἴστρος Ἱέρωνος αὐτὸν φησι μάγειρον ὄντα σὺν ἄλλοις δοθῆναι τῷ Ἀριστοκλείδῃ. ταῦτα δὲ σχεδιάσαι ἔοικεν· εἰ γὰρ ἦν γεγονὼς δοῦλος καὶ μάγειρος Ἱέρωνος, οὐκ ἂν ἀπέκρυψαν οἱ κωμικοὶ, πολλάκις αὐτοῦ μεμνημένοι ἐφ' οἷς ἐκαινούργησε κλάσας τὴν ᾠδὴν παρὰ τὸ ἀρχαῖον ἔθος, ὡς Ἀριστοφάνης φησὶ καὶ Ἀριστοκράτης. καθὸ πρῶτος τὴν ἁρμονίαν ἔκλασεν ἐπὶ τὸ μαλθακώτερον. ἦν δὲ γύννις καὶ ψυχρός.]

972. [πολλὰς : Πληγὰς δηλονότι.]

973. ἐν παιδοτρίβου : Εἰς τὸν τόπον ὅπου γυμνάζονται οἱ παῖδες καὶ διατρίβουσιν.

προβαλέσθαι : Τουτέστιν, εὐκόσμως καθεσθῆναι· ὡς μηδὲν τοῖς περιεστῶσιν ὑποδεῖξαι ἄκοσμον. — ἐνδῦσθαι, περιβαλέσθαι. προαγαγεῖν, προτείνειν. *Br.*

974. ἀπηνές : Ἀναίσχυντον, ἀπαίδευτον, *Br.* σκληρὸν. *Vict.*

975. συμψῆσαι : [Ἀντὶ τοῦ συγχέαι τὴν κόνιν, ὡς μὴ σημεῖον ἢ τύπον ἀπολείπεσθαι ταῖς καθέδραις. ἐν γὰρ ψάμμῳ λεπτοτάτῃ ἐγυμνάζοντο.] κατέψων τὸν τόπον ὅπου ἐκαθέζοντο, ἵνα μὴ σημεῖον τῆς ἥβης ἑαυτῶν καταλείψωσι τοῖς ἐρασταῖς. [παρεγίνοντο γὰρ ὥστε γυμνοὺς ὁρᾶν τοὺς ἐρωμένους.] — καθομαλίσαι τὴν κόνιν. *Br.*

976. εἴδωλον : Τύπον. τῆς ἥβης : Τῶν αἰδοίων. *Br.*

978. χνοῦς : Χνοῦς τὰ λεπτὰ τῶν ἀχύρων, καὶ χνοῦς λέγεται τοῦ γενειᾶν ἀρξαμένου. *Vict.* μήλοισιν : Κυδωνίοις. *C.* προβάτοις. *Br.*

979. φυρασάμενος : Μηκύνας τῇ μεταβολῇ. *Br.* μαλάξας, μολύνας. *Vict.*

980. προαγωγεύων : Μαυλίζων. προαγωγὸς γὰρ ἡ μαυλίστρια. V. μαστροπεύων. *Br.*

981. κεφάλαιον τῆς ῥαφανῖδος : [Ὡς θερμὸν καὶ διεγεῖρον πρὸς τὰ ἀφροδίσια, παρῃτοῦντο ταῦτα. κεφάλαιον δὲ τὸ πρὸς τοῖς φύλλοις καυλῶδες. ] ἀντὶ τοῦ κεφαλήν. οὐκ ἔτεμνον δὲ κατὰ μῆκος, ὡς νῦν, ἀλλὰ κατὰ κύκλον.

983. κιχλίζειν : [Ἀντὶ τοῦ, λιπαροὺς ὄρτυγας τρώγειν, κίχλας ἐσθίειν. ἢ ἀτάκτως γελᾶν καὶ ἀμέτρως.] λιπαροὺς ὄρτυγας ἐσθίειν, ἤγουν κίχλας. ἄλλοι δὲ ἀτάκτως γελᾶν. R. V.

984. Τεττίγων ἀνάμεστα : [Ἀρχαῖον τὸ τοὺς τέττιγας ἀναπλέκειν, τουτέστι τοὺς κρωβύλους. Ἄλλως. οἱ ἀρχαιότατοι τῶν Ἀθηναίων τέττιγας χρυσοῦς ἐν τοῖς τῶν τριχῶν πλέγμασιν εἶχον, διότι οἱ τέττιγες μουσικοὶ ὄντες, ἀνάκεινται τῷ Ἀπόλλωνι, ὃς ἦν πατρῷος τῇ πόλει.] τὰ δὲ Διιπόλεια τῶν ἀρχαιοτάτων ἑορτῶν, τὰ καὶ Διάσια. — οὕτως δὲ ἐλέγετο ἃ τῷ πολιεῖ Διὶ ἐθύετο. R. V. — τοὺς δὲ τέττιγας παρέλαβεν, ἐπειδὴ οἱ παλαιοὶ κατὰ τὴν ἀναπλοκὴν τῶν τριχῶν χρυσῷ ἐχρῶντο τέττιγι, τεκμήριον τοῦ φαίνεσθαι ὅτι αὐτόχθονες εἶεν (οἱ Ἀθηναῖοι, ὡς καὶ οἱ τέττιγες. καὶ Θουκυδίδης [1, 6] « καὶ οἱ πρεσβύτεροι αὐτοῖς τῶν εὐδαιμόνων οὐ πολὺς « χρόνος ἐπειδὴ χιτῶνάς τε λινοῦς ἐπαύσαντο φοροῦν- « τες, καὶ χρυσῶν τεττίγων ἐν ἔρσει κρωβύλων ἀναδού- « μενοι τῶν ἐν τῇ κεφαλῇ τριχῶν. »)

985. Κηκείδου : Διθυράμβων ποιητὴς πάνυ ἀρχαῖος. μέμνηται δὲ αὐτοῦ Κρατῖνος ἐν Πανόπταις. [Κυκήδου : Κυκήδης παλαιὸς ἦν ποιητής, ἀφελὴς καὶ ἄχαρις. L. B. — τὰ δὲ Βουφόνια παλαιὰ ἑορτή, ἥν φασιν ἄγεσθαι μετὰ τὰ μυστήρια, ὅτε καὶ βοῦν θύουσιν εἰς ὑπόμνησιν τοῦ πρώτου φονευθέντος βοὸς ἐν ἀκροπόλει, ἁψαμένου τοῦ πελάνου ἐν τῇ ἑορτῇ τῶν Διιπολίων.] ἑορτὴ ἔτι παρὰ Ἀθηναίοις ἐπιτελουμένη τῇ Ἀθηνᾷ. V. (Ἄλλως.) ἑορτὴ Ἀθηναίων πάνυ ἀρχαία. ἐν γὰρ τοῖς Διιπολείοις φασὶ βοῦν τὸ πόπανον καταφαγεῖν τὸ παρεσκευασμένον εἰς τὴν θυσίαν, καὶ τούτου χάριν βοῦν θύουσιν ἐν τοῖς Διιπολείοις, διὰ τὸν βοῦν τὸν φαγόντα τὸ πόπανον καὶ τυθέντα. [Θαύλωνα δέ τινα, ὡς εἶχε, τῷ πελέκει ἀποκτεῖναι τὸν βοῦν, καθὰ καὶ Ἀνδροτίων μέμνηται διὰ τῆς τετάρτης. ]

986. Μαραθωνομάχους : Τοὺς ἐν Μαραθῶνι τρωπωσαμένους τὴν Δαρείου στρατιάν, ἣν Δᾶτις ὁ τούτου στρατηγὸς ἤγαγεν οὖσαν περὶ πεντήκοντα μυριάδας. τὸ δὲ ἐντετυλίχθαι, τὸ ἐναντίον τῷ γυμνοῦσθαι. οὐκ ἐγκεκαλύφθαι.

988. Ὥστε μ' ἀπάγχεσθαι : Τότε δηλονότι. *Br.* πνίγεσθαι. *D.*

ὀρχεῖσθαι : Ὠρχοῦντο τοῖς Παναθηναίοις ἐν ὅπλοις οἱ παῖδες. διὰ δὲ τὸ ἀπρεπές, φησί, προέχοντες τῶν αἰδοίων τὴν ἀσπίδα. (ὡσανεὶ τούτων ἐν τῇ πομπῇ ἀσπιδοφορούντων δέον περικαλύπτεσθαι τὴν αἰσχύνην. ηὔξησε δὲ τὴν διαβολὴν εἰς τὴν ἀσπίδα τῆς θεοῦ.)

989. τῆς κωλῆς : Τοῦ ποδός· ἕτεροι δέ φασι τοῦ αἰδοίου. *Br.*

[Τριτογενείης : Εἶδος ὀρχήσεως, ἣ καλεῖται ἐνόπλιος· διὰ δὲ τὸ εἰς Ἀθηνᾶν ταύτην τελεῖσθαι Τριτογένεια κέκληται· τριτὼ γὰρ ἡ κεφαλὴ παρ' Αἰολεῦσιν. ἐγεννήθη δὲ Ἀθηνᾶ ἐκ τῆς κεφαλῆς τοῦ Διός. ἐτέλουν δὲ ταύτην τὴν ὄρχησιν οἱ πρότερον μὲν ὡπλισμένοι καὶ τὴν ἀσπίδα ἐν πλαγίῳ φέροντες· οἱ ὕστερον δὲ ἔμπροσθεν τῶν ποδῶν ἔφερον. σημειωτέον δέ, φασί, τὴν σύνταξιν. πρῶτον γὰρ πληθυντικῶς εἰπών, εἰς ἑνικὸν ἀποδέδωκεν. ἐν δὲ τοῖς παλαιοῖς τῶν ἀντιγράφων, ἀμέλει τῆς Τριτογενείης, εὕρηται.]

991. μισεῖν ἀγορὰν : Ἀντὶ τοῦ μαθήσῃ μισεῖν τὴν ἐκκλησίαν. R. ἐνταῦθα γὰρ οἱ πανοῦργοι διατρίβουσιν. βαλανείων ἀπέχεσθαι : Πάνυ γὰρ οἱ πόρνοι λουτροῖς ἐχρῶντο. *E.*

993. ὑπανίστασθαι : Ὑπαναχωρεῖν. *Br.* προϊοῦσι : Προερχομένοις. *D.* θάκων : ἀττικῶς ἀντὶ τοῦ θώκων. λέγει δὲ ὅτι τοὺς πρεσβυτέρους προτιμᾶν, καὶ τὸ μὴ ἀπαίδευτα ποιεῖν εἰς τοὺς σαυτοῦ γονέας. V.

994. (μὴ παρὰ τοὺς σεαυτοῦ : Ἀντὶ τοῦ, μὴ παρὰ γνώμην τῶν σῶν γονέων.) — ἀπαίδευτα ποιεῖν παρὰ τοὺς αὐτοῦ γονέας.

995. (ὅτι τῆς αἰδοῦς : Ὅπερ μέλλει τῆς αἰδοῦς τὰ ἀγάλματα πληρώσειν. τὸ δὲ ἀναπλήσειν ἀντὶ τοῦ ἀφανίζειν. — τῆς αἰδοῦς ἄγαλμα, ἡ αἰδὼ περιφραστικῶς. ἄγαλμ' ἀναπλάσσειν : Τύπον ἐργάσεσθαι. *E.*) ἀφανίσειν. R. ἀναπλήσειν : Τυπώσειν, ἐργάσασθαι. *C.* ἀναπλάσσειν : Ποιήσειν τύπωσιν. *LB.* ἀναπλήσειν : Πληρώσειν. *Vict.* ἀναπλάσειν : Ἤγουν τυπώσειν, ἐργάζεσθαι. Victorius, ex vetusto codice.

[ὅτι μ. τῆς αἰδοῦς τἄγ. ἀναπλήσειν : Ἐμὲ τὸν κρείττω λόγον αἱροῦ φησί· καὶ ἐπιστήσῃ τὸ καὶ τό· τὸ δ' αἴτιον τῆς ἐπιστήμης ταύτης, ὅτι μέλλεις ἐπιμελήσεσθαι καὶ τιμήσειν τὴν αἰδῶ, εἰ ἐμὲ αἱρῇ καὶ τὸ ἄγαλμα αὐτῆς ἀναλαβὼν ὡς ἀμελούμενον τελειώσειν ἐν σεαυτῷ δηλονότι, ὥσπερ εἰ καὶ ἄλλου οὑτινοσοῦν θεοῦ ἄγαλμα ἐν τῇ σῇ καρδίᾳ ἔστησας ὥστε σέβειν αὐτό· τούτῳ ὅμοιον καὶ Δημοσθένης [p. 780, 22] φησὶν ἐν τούτοις « δίκης καὶ « εὐνομίας καὶ αἰδοῦς εἰσὶ πᾶσιν ἀνθρώποις βωμοί· οἱ « μὲν κάλλιστοι καὶ ἁγιώτατοι ἐν αὐτῇ τῇ ψυχῇ ἑκά- « στου καὶ τῇ φύσει· οἱ δὲ καὶ κοινοὶ τοῖς πᾶσι τιμᾶν « ἱδρυμένοι. » Manuel Moschopulus.]

996. εἰσάγειν : Ἑαυτόν. *E.*

997. μήλῳ βληθεὶς : Ἀντὶ τοῦ ἔρωτι. — οὕτως γὰρ ἔλεγον οἱ παλαιοὶ τὸ πτοῆσαι καὶ εἰς ἔρωτα ἀγαγεῖν, μήλῳ βάλλειν. R. V. [μηλοβολεῖν γὰρ ἔλεγον τὸ εἰς ἀφροδίσια δελεάζειν· ἐπεὶ καὶ τὸ μῆλον Ἀφροδίτης ἐστὶν ἱερόν.] — τὸ δὲ ἀποθραυσθῇς ἀντὶ τοῦ ἐκπέσῃς. V. ἀποθραυσθῇς : Ἀποπέσῃς. *Br.*, *Vict.*

998. Ἰαπετὸν : Λῆρον, μωρόν. R. V. ὁ δὲ Ἰαπετὸς εἷς τῶν Τιτάνων. V. ἀρχαῖον, μωρόν. *Br.* ἀρχαῖον, μωρὸν καὶ ὑπέργηρων. ὁ γὰρ Ἰαπετὸς θεὸς ἦν πρὸ τοῦ Κρόνου. *Vict.*

999. τὴν ἡλικίαν, τοῦ πατρὸς δηλονότι. τὸ δὲ ἐνεοττοτροφήθης, ἀντὶ τοῦ ἐτράφης. V. μνησικακῆσαι : Εἰς μνησικακίαν ἐμβαλεῖν. *Vict.* ἐνεοττοτροφήθης : Ὥσπερ νεοσσὸς ἐτράφης. *Br.* ἐτράφης δίκην νεοττῶν. *Vict.*

1001. τοῖς Ἱπποκράτους : Ὑώδεις τινὲς καὶ ἀπαίδευτοι κωμῳδοῦνται, καὶ τάχα ἂν εἴησαν προκέφαλοί τινες, ὡς ἐν Γεωργοῖς καὶ ἐν Τριφάλητι. (καὶ Εὔπολις ἐν Δήμοις

Ἱπποκράτους τε παῖδες ἐκβόλιμοί τινες,
βληχητὰ τέκνα κοὐδαμῶς τοῦ νῦν τρόπου.)

τὰ δὲ ὀνόματα αὐτῶν Τελέσιππος, Δημοφῶν, Περικλῆς.

(βλιτομάμαν : Μωρόν. καὶ γὰρ τὸ βλίτον μωρὸν εἶναι δοκεῖ λάχανον.) ⟦εἰκότως δὲ εἶπε καλοῦσι, καὶ οὐ καλέσουσι, πρὸς τὸ εἴξεις. διότι μὲν γὰρ ἅπαξ ἔμελλεν ὅμοια πείσεσθαι, εἴξεις εἶπε· διότι δὲ μετὰ τὴν ὁμοίωσιν οὕτως ἀεὶ ἔμελλε καλεῖσθαι, καλοῦσιν εἴρηκε.⟧ — βλιτομάμμαν : Μαλακογνώμονα. *Vict.*

1003. στωμύλλων : φλυαρῶν R. τριβολεκτράπελα : Ἐκ τοῦ τρίβειν καὶ ἐκτράπελος σύγκειται. ἀντὶ τοῦ σκληρὰ καὶ ἀπαίδευτα, καὶ ἀπόβλητα ⟦καὶ ἀνώμαλα⟧. — οὐδαμινά, φευκτά. *Br.*

1004. γλισχραντιλογεξεπιτρίπτου : Ἐκ τοῦ γλίσχρου καὶ ἀντιλογίαν ἔχοντος καὶ ἐπιτρίπτου σύγκειται, οἷον τοῦ δυναμένου ἐπιτρῖψαι. — γλίσχρου καὶ ἀντιλογίαν ἔχοντος κατατετριμμένην. *Br.*

1005. ἀλλ' εἰς Ἀκαδημίαν : (Ἐνταῦθα διέτριβον οἱ φιλόσοφοι. ἦν δὲ γυμνάσιον), ⟦ἀπὸ Ἑκαδήμου τινός, καταλείψαντος τὴν κτῆσιν ἑαυτοῦ πρὸς ἐπισκευὴν τοῦ τόπου. περὶ αὐτὸν δ' ἦσαν αἱ ὄντως ἱεραὶ ἐλαῖαι τῆς θεοῦ, αἳ καλοῦνται μορίαι· ἐξ ὧν τὸ ἔλαιον τῶν Παναθηναίων. τὸν δὲ στέφανον τοῦ καλάμου προέκρινεν, ὡς ἁπλούστερον ὄντα καὶ ἀπερίεργον· ἢ ὅτι αὐτῷ στέφονται οἱ Διόσκουροι.⟧

ὑπὸ ταῖς μορίαις : ⟦Αἱ ἱεραὶ ἐλαῖαι τῆς Ἀθηνᾶς ἐν τῇ ἀκροπόλει μορίαι ἐκαλοῦντο. λέγουσι γὰρ ὅτι Ἁλιρρόθιος, ὁ παῖς Ποσειδῶνος, ἠθέλησεν ἐκκόψαι αὐτάς, διὰ τὸ τῆς ἐλαίας εὑρεθείσης κριθῆναι τῆς Ἀθηνᾶς τὴν πόλιν. ὁ δὲ ἀνατείνας τὸν πέλεκυν καὶ ταύτης ἀποτυχὼν ἔπληξεν ἑαυτὸν καὶ ἀπέθανε. καὶ διὰ τοῦτο μορίαι αἱ ἐλαῖαι ἐκλήθησαν. ἢ διὰ τὸ πάντα ἄνθρωπον κεκτημένον ἐλαίας ἀναγκάζεσθαι μέρος τι παρέχειν εἰς τὰ Παναθήναια. κέραμον γὰρ ἐλαίου ἐλάμβανον οἱ νικῶντες.⟧ κυρίως μορία λέγεται ἡ ἱερὰ ἐλαία τῆς θεοῦ. ἐπεφύτευτο δὲ ἐν τῷ γυμνασίῳ δένδρα. ἔθος δὲ τοῖς ἀσκουμένοις ἀλειψαμένοις ἐν τῷ ἡλίῳ τρέχειν.— Ἄλλως. ἡττηθεὶς τῆς Ἀθηνᾶς ὁ Ποσειδῶν ἐπὶ τῇ τῆς ἐλαίας ἐπιδείξει, ἔπεμψε τὸν υἱὸν αὐτοῦ Ἁλιρρόθιον ταύτην τεμοῦντα. ὁ δὲ ἀνατείνας τὸν πέλεκυν, ταύτης μὲν ἠστόχησε· τὸν δὲ πόδα αὐτοῦ πλήξας ἐτελεύτησε, καὶ οὕτω μορία ἡ ἐλαία ἐκλήθη, ὡς μόρου παρεκτική. ἦν δὲ ἡ Ἀκαδημία σχολεῖόν τι ἐν Ἀθήναις, ἐλαίαις καὶ ἄλλοις τισὶ δένδρεσι κατάσκιον. Junt. Vict.⟧

1006. καλάμῳ λευκῷ : Λιτὸς γὰρ καὶ ἀπερίεργος ὁ τοιοῦτος στέφανος. ἦν δὲ τῶν Διοσκούρων ἴδιον στεφανοῦσθαι καλάμῳ. — τὸ δὲ ἡλικιώτου ἀντὶ τοῦ συμπράκτορος. V.

1007. μίλακος : Εἶδος βοτάνης. ⟦παρέμιξε το ἀπραγμοσύνης. ἀπραγμοσύνη δὲ φυτόν, ὡς Ἀριστοφάνης ὁ γραμματικός, ἐν Ἀκαδημίᾳ φυόμενον. ἡ λεύκη δὲ ὁμοία πλατάνῳ. Ἄλλως.⟧ ἀπραγμοσύνη εἶδος ἄνθους· οἷον πάσης εὐωδίας ὄζων καὶ ἀσφαλείας. ἢ ἀπραγμοσύνης, ἀντὶ τοῦ πολυπραγμοσύνης. τὸ δὲ ψιθυρίζει, ἀντὶ τοῦ πνέοντος ἀνέμου μαλακοῦ καὶ ἠρέμα διὰ τῶν φύλλων εἰσιόντος. ὥσπερ προσλαλεῖ τὰ δένδρα, ὅπερ ψιθυρίζειν λέγεται. καὶ Θεόκριτος [1, 1] « ἁδύ τι τὸ ψιθύρισμα. » — φυλλοβολούσης : Τὰ φύλλα ῥιπτούσης. *Vict.*

1009. ⟦ἢν ταῦτα ποιῇς : Ἔκθεσις τῆς διπλῆς ἐκ κώλων ὁμοίων ἀναπαιστικῶν δεκαπέντε· ὧν τὰ μὲν ιγʹ δίμετρα ἀκατάληκτα· τὸ τεσσαρακαιδέκατον μονόμετρον, ὃ παρατέλευτον ὀνομάζεται. τὸ τελευταῖον ἐφθημιμερές, ὃ καλεῖται παροιμιακόν, ὡς εἴρηται. ἐπὶ τῷ τέλει δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ, ἡ δὲ κατὰ τὸ τέλος τοῦ κώλου, ἔξω νενευκυῖαι.⟧

1010. οἷς λέγω. R.

1013. (γλῶτταν βαιὰν : Μικράν, ὥστε μὴ φλυαρεῖν. τὸ δὲ πυγὴν μεγάλην, ἢ γέλωτος χάριν, ἢ διὰ τὴν τρυφὴν ἕξεις πυγὴν μεγάλην. πόσθην δὲ τὸ αἰδοῖον. [αἰνίττεται δὲ εἰς τοὺς Ἀθηναίους.] τοῦτο δὲ σωφροσύνης σύμβολον).— πόσθην : Ψωλήν. *Br.*

1016. ⟦χροιὰν ὠχρὰν : Διὰ τὴν ἀταξίαν.⟧ — ὠχρὰν : Κίτρινον. *Br.*

1017. ὤμους μικρούς : ⟦Γράφεται καὶ λεπτούς, καὶ λευκούς.⟧ οἷοι τῶν ἀγυμνάστων καὶ ἀργῶν.

1018. κωλῆν : Μηρόν. *Br.*

1019. ψήφισμα μακρόν : Τὸ ἐκ πολυλογίας συγκείμενον. ⟦ἀντὶ τοῦ μεγάλῳ ψηφίσματι γράψεις.⟧ — δικορραφίαν. *Br.*

1022. τῆς Ἀντιμάχου : Οὗτος εἰς θηλύτητα κωμῳδεῖται καὶ εὐμορφίαν. ἔστι δὲ καὶ ἕτερος ἐπὶ πονηρίᾳ κωμῳδούμενος. ⟦τρίτος ὁ Ψακάδος λεγόμενος· τέταρτος ὁ τραπεζίτης, οὗ μέμνηται Εὔπολις ἐν Δήμοις· πέμπτος ἱστοριογράφος. τάχα δὲ ὁ αὐτός ἐστι τῷ εὐμόρφῳ.⟧ — οὗτος λίαν πόρνος ἦν. *Br.*

1023. τῆς μαλακίας. V.

1024. ⟦ὦ καλλίπυργον : Ἑτέρα εἴσθεσις μέλους χοροῦ μεσῳδικὴ ἀντίστροφος, ὁμοία τῇ προρρηθείσῃ στροφῇ, ἐκ κώλων χοριαμβικῶν ἐπιμεμιγμένων, ὡς τὰ τῆς στροφῆς καθ' ἕκαστον ἐχόντων δέκα· πλὴν τοῦ πέμπτου ἐξ ἐπιτρίτου καὶ διιάμβου συγκειμένου, καὶ τοῦ ἑβδόμου ἐκ χοριάμβου, ἰάμβου καὶ ἀντισπάστου. ἐν ἐκθέσει δὲ στίχοι δύο ἰαμβικοὶ τετράμετροι καταληκτικοί, ὅμοιοι τοῖς ἑξῆς. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι, ἡ μὲν ἐν ἀρχῇ, ἡ δὲ κατὰ τὸ τέλος.⟧ ὑψηλοτάτην, μεγάλην. R.V.

1030. πρὸς ταῦτα οὖν, ὦ πανοῦργον ἔχων μοῦσαν. λέγει πρὸς τὸν ἄδικον. V. ἀντὶ τοῦ πανοῦργον. R.

1033. ἀνήρ : Ὁ δίκαιος δηλονότι. ἐν ἀνδρῶν γὰρ σχήματι εἰσήχθησαν. R. V. οὗτος, ἤγουν ὁ δίκαιος. *Vict.*

1034. δεῖν : Χρείαν εἶναι. *Vict.* ἀντὶ τοῦ μεγάλων. R.

1036. [καὶ μὴν πάλ' ἔγωγ' ἐπνιγόμην : Εἴσθεσις ἑτέρας διπλῆς ἀμοιβαίας ἐκ στίχων ἰαμβικῶν τετραμέτρων καταληκτικῶν μθ'. ὧν τελευταῖος

ἕξει τίνα γνώμην λέγειν τὸ μὴ εὐρύπρωκτος εἶναι.

τὸ δὲ μέτρον Ἱππωνάκτειον. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα.]

1037. συνταράξαι : Ἀνατρέψαι. *Vict.*

1038. ἐγὼ γὰρ ἥττων : Ὅτι ποιῶ αὐτοὺς ἡττηθῆναι. [ἢ ὅτι τὰ ἥττονα λέγω ἐπὶ τὸ πάντας ἡττᾶσθαι.]

1039. τοῖς φιλοσόφοις. R.

1040. καὶ τοῦτο : Τὸ τινὰ λαβόντα δίκην τῷ ἀδίκῳ λόγῳ νικᾶν. [τὸ δὲ σκέψαι πρὸς τὸν Φειδιππίδην. — οὐδέποτε οἱ Ἀττικοὶ τὸ πλεῖν ἀντὶ τοῦ πλέον μόνον ἐκφέρουσιν, εἰ μὴ παραθήσουσι καὶ τὸ ἢ ἀντὶ τοῦ παρό. Harl. 5.] — στατήρων : εἶδος νομίσματος. R.

1042. αἱρούμενον : Προκρίνοντα. *Vict.* πρὸς τὸν παῖδά φησιν ὅτι ἀπὸ τῶν αὐτοῦ ἐλέγξω αὐτόν. R. V.

1046. κάκιστόν ἐστι : Ἐψοῖ γὰρ καὶ χαυνοῖ τὰ σώματα. δειλότατον δὲ εἶπεν. ἐκλύει γάρ. — δειλὸν ποιεῖ τὸν ἄνδρα : Μαλακίας γὰρ αἴτιον. *E.*

1047. μέσον ἔχω λαβών σε ἄφυκτον : Ἔχω εὐθὺς μέσον λαβών. ἡ μεταφορὰ ἀπὸ τῶν παλαιστῶν τῶν λαμβανομένων εἰς τὸ μέσον καὶ ἡττωμένων. τὸ δὲ εὐθὺς ἀντὶ τοῦ ἐν ἀρχῇ. — ἐπίσχες : Σαυτὸν δηλονότι, ἤτοι καρτέρησον. μέσον : Κατά. ἄφυκτον : Οὐ φυγεῖν δυνάμενον. *Vi.*

1050. Ἡράκλεια λουτρά : (Ἴβυκός φησι τὸν Ἥφαιστον κατὰ δωρεὰν ἀναδοῦναι τῷ Ἡρακλεῖ λουτρὰ θερμῶν ὑδάτων· ἐξ ὧν τὰ θερμά τινές φασιν Ἡράκλεια λέγεσθαι. οἱ δέ φασιν ὅτι τῷ Ἡρακλεῖ μογήσαντι ἡ Ἀθηνᾶ θερμὰ λουτρὰ ἐπαφῆκεν· ὡς Πείσανδρος

τῷ δ' ἐν Θερμοπύλῃσι θεὰ γλαυκῶπις Ἀθήνη
ποίει θερμὰ λοετρὰ παρὰ ῥηγμῖνι θαλάσσης.) —

Ἡρακλεῖ πολλὰ καμόντι περὶ Θερμοπύλας Ἀθηνᾶ θερμὰ λουτρὰ ἀναδέδωκεν. Πείσανδρος· « τῷ δ' ἐν — θαλάσσης. » R.

1053. ἃ τῶν νεανίσκων : Ὡς ταῦτα τῶν ἀγυμνάστων νεανίσκων λαλούντων· τῶν εὐγενῶν δηλονότι.

1057. ὅτι τὸ ἂν περισσόν ἐστιν Ἀττικῶς. R. V.

1059. χρῆναι δηλονότι. R.

1063. ὁ γοῦν Πηλεὺς : [Ὅτε ἀφῆκεν αὐτὸν Ἄκαστος μεταξὺ θηρίων, οἱ θεοὶ δεδώκασιν αὐτῷ ξίφος πρὸς ἄμυναν τῶν θηρίων. τινὲς δὲ ἐπὶ τῷ Πελίου ἀγῶνί φασι τὸν Πηλέα λαβεῖν διὰ σωφροσύνην Ἡφαιστότευκτον μάχαιραν. Ἄλλως. ὁ Πηλεὺς ἐγένετο σωφρονέστατος. καί ποτε Ἱππολύτης τῆς γυναικὸς Ἀκάστου ἐρασθείσης αὐτοῦ καὶ μὴ δυνηθείσης πεῖσαι, ἀλλὰ διαβολῇ χρησαμένης, ὡς ἄρα ἐπεχείρησε βιάσασθαι αὐτήν, ὁ Ἄκαστος μαθὼν καὶ λαβὼν αὐτὸν εἰς ἐρημίαν, καὶ τῶν ὅπλων γυμνώσας, ἀφῆκεν αὐτὸν καὶ ἀνεχώρησεν, εἰπών, Εἰ δίκαιος εἶ, σωθήσῃ· ὡς δὲ ἔμελλεν ὑπὸ θηρίων διαφθείρεσθαι, οἱ θεοὶ μάχαιραν αὐτῷ ἐχαρίσαντο Ἡφαιστότευκτον δι' Ἑρμοῦ, καὶ οὕτως ἔφυγε τὸν κίνδυνον. Ἄλλως.] Πηλεὺς Φῶκον τὸν ἀδελφὸν κατὰ πατέρα σὺν Τελαμῶνι δολοφονήσας, φεύγει εἰς Φθίαν πρὸς Εὔρυτον τὸν Ἄκτορος, ὑφ' οὗ καὶ καθαίρεται. ἐκεῖθεν ἐπὶ τὴν θήραν τοῦ Καλυδωνίου κάπρου ἐλθών, Εὐρύτῳ ἐντυγχάνει καὶ κτείνει τοῦτον ἄκων. πάλιν οὖν ὁ Πηλεὺς ἐκ Φθίας φυγὼν ἐς Ἰωλκὸν πρὸς Ἄκαστον ἀφικνεῖται, καὶ καθαίρεται ὑπ' αὐτοῦ. Ἀστυδάμεια δὲ, ἡ Ἀκάστου γυνή, ἐρασθεῖσα Πηλέως καὶ μὴ πείσασα αὐτὸν διὰ σωφροσύνην συνελθεῖν αὐτῇ, καταψεύδεται αὐτοῦ πρὸς Ἄκαστον ὡς ἀποπειραθέντος αὐτῆς. ὁ δὲ κτεῖναι μὲν, ὃν καθῆρεν, οὐκ ἠβουλήθη, — ἐκβάλλει δὲ αὐτὸν εἰς τὸ Πήλιον, ὅπως ὑπὸ θηρῶν βρωθείη. οἱ δὲ θεοὶ διὰ τὴν σωφροσύνην δεδώκασιν αὐτῷ μάχαιραν πρὸς τὸ ἀπαλέξειν τὰ θηρία. R.V. [ἄγει δὲ αὐτὸν εἰς θήραν εἰς τὸ Πήλιον. ἀποκοιμηθέντα δὲ αὐτὸν Ἄκαστος καταλιπὼν, καὶ τὴν μάχαιραν ὑπὸ τὴν κόπρον τῶν βοῶν κρύψας ἐπανέρχεται. ὁ δὲ ἐξαναστὰς καὶ μὴ εὑρὼν τὴν μάχαιραν ἤμελλεν ἀπόλλυσθαι καταλειφθεὶς ὑπὸ τῶν Κενταύρων. σώζεται δὲ ὑπὸ Χείρωνος· ὃς καὶ τὴν μάχαιραν ἐκζητήσας δίδωσιν αὐτῷ.]

1065. Ὑπέρβολος : Ὡς λυχνοπώλης γὰρ κωμῳδεῖται ἐν πολλοῖς. τὸ δὲ πλεῖν ἀντὶ τοῦ πλέον, ὡς δέον δεῖν. ἡ συναίρεσις Ἀττική. V. [οὗτος λυχνοποιὸς ὢν, πάνυ πανοῦργος ἦν. οὐ γὰρ χαλκῷ μόνον ἐχρῆτο πρὸς τὴν τῶν λύχνων κατασκευήν, ἀλλὰ καὶ μόλιβδον ἐνετίθει, ἵνα πολὺ βάρος ἔχοντες πλείονος ἄξιοι ὦσι· καὶ οὕτως ἠπάτα τοὺς πριαμένους.]

1068. κᾆτ' ἀπολιποῦσά γ' αὐτὸν : Φασὶν ὅτι τοὺς γινομένους παῖδας ἐκ τοῦ Πηλέως ἡ Θέτις λαμβάνουσα περιέκαιε τὸ θνητὸν αὐτῶν σῶμα, βουλομένη αὐτοὺς ἀθανάτους ποιεῖν· καὶ πολλοὺς ἔκαυσε· καὶ τὸν Ἀχιλλέα οὖν τεκοῦσα ἐπέθηκεν εἰς τὸ πῦρ· καὶ γνοὺς ὁ Πηλεὺς ἐβόησεν. ἡ δὲ λυπηθεῖσα ἐχωρίσθη.

τρυφητής, γαμητής. R.

1070. σιναμωρουμένη : Ἀντὶ τοῦ συνεχῶς ἀνδρὶ συνουσιάζουσα πρὸς μίξιν, τουτέστι γαμουμένη. σινάμωρον γὰρ τὸ πορνικόν. R. V. κρόνιππος δὲ ἀντὶ τοῦ ἀρχαῖος, παρ' ὅσον ὁ Κρόνος ἀρχαῖος. V. [ἀνδρὶ συνουσιάζουσα πρὸς μίξιν. σινάμωρος δὲ, ἡ μεμορημένη. σίνος δὲ, τὸ αἰδοῖον· ὅθεν καὶ Σιληνός. σινάμωρον οὖν τὸ πορνικόν, κρόνιππος δὲ, ὁ μέγας λῆρος· κατ' ἐπίτασιν λαμβανομένου τοῦ ἵππου. — συνουσιαζομένη. *Br.*]

1072. λείπει τὰ κακά. ἐὰν σωφρονῇς. R. V.

1073. κοττάβων : Ἀντὶ τοῦ τῶν συμποσίων. R. V. [ἐν συμποσίῳ παίγνιον. ἦν δὲ τοιοῦτον· ἐτίθεσαν λέβητα, καὶ τὸ λείψανον τοῦ πόματος ἐνέβαλον, καὶ κτύπον μέγαν ἀπετέλουν ἐν τούτοις.] κιχλισμῶν δὲ ἀντὶ τοῦ γελώτων ἀδιαφόρων. R.V.

1075. τὸ εἶεν λέγεται ἀπόθεσις λόγου. R. V.

1077. (ἀδύνατος γὰρ : Οὐ γὰρ δυνατὸς εἶ λόγοις νικῆσαι αὐτοὺς ἐναντίον.)

1078. σπατάλα. τὸ αἰσχρὸν νόμιζε μὴ αἰσχὸν εἶναι. R.

1080. ἐπανενεγκεῖν : Τὴν αἰτίαν. *Vict.*

1081. ἀντὶ τοῦ ἡττᾶται. R.

1083. ἢν ῥαφανιδωθῇ : Οὕτω γὰρ τοὺς ἁλόντας μοιχοὺς ᾔκιζον. ῥαφανῖδας λαμβάνοντες ἔβαλλον εἰς τοὺς πρωκτοὺς αὐτῶν, καὶ παρατίλλοντες αὐτοὺς θερμὴν τέφραν ἐπέπασσον, βασάνους ἱκανὰς ἐργαζόμενοι.

1084. τίνα γνώμην : Ἀντὶ τοῦ, ποίαν ἕξει γνώμην μὴ εὐρύπρωκτος εἶναι.

1085. ⟦ἢν δ᾽ εὐρύπρωκτος : Ἔκθεσις τῆς διπλῆς ἀμοιβαία· ἧς προτίθενται στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι τέσσαρες. τὰ δὲ λοιπὰ κῶλά εἰσιν ἰαμβικὰ ὀκτωκαίδεκα δίμετρα ἀκατάληκτα. τὸ μέντοι ὄγδοον καὶ δυοκαιδέκατον τρίμετρα, καὶ τὸ ἑνδέκατον πενθημιμερές. τὸ πεντεκαιδέκατον καὶ ἑπτακαιδέκατον μονόμετρα. τὸ δὲ τελευταῖον ἐφθημιμερές. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι· ἡ μὲν ἐν τῇ ἀρχῇ, ἡ δὲ κατὰ τὸ τέλος.⟧ ἀντὶ τοῦ οὐδέν. R.

1086. τοῦ εἶναι εὐρύπρωκτος. R.

1087. ἢν τοῦτο : Εἰς τοῦτο. ἐὰν εἰς τοῦτο νικηθῇς παρ᾽ ἐμοῦ, ὅτι οὐδέν ἐστι κακὸν τὸ εἶναι εὐρύπρωκτος, (τί εἴπῃς;) — τοῦτο : Εἰς τοῦτο. ἐμοῦ : Ὑπό. *Vict.*

1089. συνηγοροῦσιν ἐκ τίνων : Ἀντὶ τοῦ τίνες εἰσὶν οἱ ῥήτορες; R. V.

1091. τραγῳδοῦσιν : Εἰς Φρύνιχόν φασιν αὐτὸν ἀποτείνειν τὸν τραγικὸν χορευτήν· ἐπεὶ διεβάλλετο ἐπὶ μαλακίᾳ διὰ ποικιλίαν σχημάτων.

1096. τῶν σωφρόνων καὶ τῶν εὐρυπρώκτων θεατῶν σκόπει πότεροι πλείους. R. V.

1103. ὦ κινούμενοι : Τοῦτο ἄδηλον πότερον ὁ κρείττων λόγος φησὶν, ὁμολογῶν ἡττᾶσθαι, ἢ ὁ νεανίσκος, ὁ τῶν λόγων κριτής· ὃ καὶ μᾶλλον. ἔτι γὰρ ἐν τοῖς ἑξῆς ὁ κρείττων λόγος φαίνεται αὐτῷ συνάχθεσθαι, παραδοθέντι μανθάνειν τῷ ἑτέρῳ. — συνουσιαζόμενοι. *E.* ὦ εὐρύπρωκτοι. *Vict.*

1104. θοἰμάτιον : Τὸ ἱμάτιον δίδωσιν, ἵνα ⟦ἐξ ἑτοίμου καὶ⟧ εὐχερῶς αὐτομολήσῃ πρὸς αὐτοὺς, ⟦καὶ μὴ ἐμποδίζοιτο τῷ δρόμῳ⟧.

1105. ⟦τί δῆτα; πότερον : Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ὀκτώ. ἐν ἐκθέσει δὲ κῶλα ἰαμβικὰ δίμετρα καταληκτικὰ ἤτοι ἑφθημιμερῆ. ἔχει δὲ τὸ δεύτερον κῶλον τὸν δεύτερον πόδα τρίβραχυν ἤτοι χορεῖον. ἐπὶ τῷ τέλει παράγραφος. — ἐπάγεσθαι : Ἀπελθεῖν. *D.*⟧

1107. δίδασκε : ἀντὶ τοῦ παίδευε· οἱ γὰρ διδασκόμενοι ἐκολάζοντο. R.V.

1108. στομώσεις : Ἀντὶ τοῦ ὀξυνεῖς, ὡς ἐπὶ σιδήρου φησὶ μεταφορικῶς ἀντὶ τοῦ ἀκονήσεις. ἡ μεταφορὰ ἀπὸ τῶν μαχαιρῶν. θατέρα δὲ ἀντὶ τοῦ τὸ μὲν ἕτερον μέρος τῆς γνάθου (οἷαν δικιδίοις), τουτέστι δυνατὴν καὶ ἔμπειρον δικῶν. ὑποκοριστικῶς δὲ τὸ δικιδίοις.

1110. εἰς τὰ ἄδικα, εἰς τὰ ἐμφιλόσοφα. V.

1111. τὸ ἀμέλει παρέλκει. δεξιὸν : οὕτως ἔλεγον πάντας τοὺς πεπαιδευμένους. R.V. κομιεῖ : Λήψῃ. *Vict.*

1112. ἀπὸ κοινοῦ τὸ κομιεῖ. R.

1115. ⟦τοὺς κριτὰς ἃ κερδανοῦσιν : Κἀνταῦθα παράβασίς ἐστιν. ἔχει δὲ οὐ πάντα τὰ μέρη τῆς παραβάσεως, ἀλλὰ μόνον τὸ ἐπίρρημα, ἐν ᾧ ἔθος ἢ χρηστὰ συμβουλεύειν τῇ πόλει, ἢ σκώπτειν τοὺς πονηρούς. τίθενται γὰρ οὐ μόνον τέλειαι παραβάσεις, ἀλλὰ καὶ μέρη τινὰ αὐτῶν. ἔστι δὲ τὸ παρὸν ἐπίρρημα ἐκ στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν ις΄· ὧν τελευταῖος

κἂν ἐν Αἰγύπτῳ τυχεῖν ὢν μᾶλλον ἢ κρῖναι κακῶς.⟧

τόνδε τὸν χορὸν : Τὸν τῶν Νεφελῶν. τοὺς κριτὰς ἀντὶ τοῦ οἱ κριταί. Ὅμηρος [Od. A, 275] « μητέρα δ᾽ εἴ οἱ θυμὸς ἐποτρύνει ⟦γαμέεσθαι⟧ » ἀντὶ τοῦ ἡ μήτηρ.

1116. ὠφελῶσ᾽ ἐκ τῶν δικαίων : Συναγωνίζωνται καὶ συλλαμβάνωνταί τι κατὰ τὸ δίκαιον. ἵνα δὲ μὴ χάριτι δοχῇ νικᾶν καὶ τὴν ψῆφον φέρειν, ἀλλὰ ταῖς ἀληθείαις, προσέθηκε τοῦτο.

1117. νεᾶν : Ἀροτριᾶν. ἐν ὥρᾳ : Εὐκαίρως. *Br.* ἀντὶ τοῦ ἀροτριᾶν καὶ σπείρειν. R.V. ἐν ὥρᾳ : ἀντὶ τοῦ ἐν καιρῷ. V.

1119. τεκούσας : (Χαριέντως εἶπε τὸ τεκούσας καὶ φυλάξαι ἐπὶ τῆς βλαστήσεως τῆς ἀμπέλου. λίαν γάρ εἰσιν εὐχερεῖς.) αὐχμὸν τὴν ξηρασίαν. τὸ δὲ πιέζειν ἀντὶ τοῦ καταπονεῖν, ἀφανίζειν.

1125. σφενδόναις : ⟦Ὅτι ἡ χάλαζα ὡς λίθος ἐστίν.⟧ ἡ μεταφορὰ ἀπὸ τῶν λίθων καὶ τῶν σφενδονῶν. θέλει δὲ τὴν χιόνα εἰπεῖν. οὐκ ἀκύρως δὲ τὸ παιήσομεν, ἐπειδὴ ἀνθούντων τῶν καρπῶν ἡ χιὼν γίνεται. — ἀποκεκόψονται : Ἀφ᾽ ἡμῶν. *E.*

1126. ζημία γὰρ τοῖς πλινθεύουσιν, ἐπειδὰν ὑετὸς γένηται. R.V.

1127. τὰς ἐν τῇ στέγῃ κεραμίδας. V.

1129. ⟦τὴν νύκτα : Ὅτε ἀνάγκη ἐστὶ μετελθεῖν τὴν νύμφην.⟧

1130. ἐν Αἰγύπτῳ : [Ὡς ἐπὶ κατάρας], ἐπεὶ ὡς ληστευομένη διεβάλλετο ἡ Αἴγυπτος. ἢ βουλήσεται πορρωτάτω εἶναι, ὅπου αὐτὸν οὐ βλάψει ὁ ὑετός· ἐπεὶ ἐν Αἰγύπτῳ δοκεῖ μὴ ὕειν, ὥς φησιν Ἡρόδοτος [3, 10] (« ὕσθησαν γὰρ τότε αἱ Θῆβαι, οὐδαμὰ πρότερον ὑσθεῖσαι. ») R.V. ⟦ἐπεὶ μὴ ὕειν δοκεῖ αὐτόθι, ὡς Ἡρόδοτος. ἐκεῖ οὖν θελήσει τυχεῖν, ἔνθα μὴ βλαβήσεται ἐκ τῶν Νεφελῶν, ὡς πορρωτάτω τῆς πατρίδος. ἢ ὡς ἐπὶ κατάραν. ἐπεὶ καταρᾶται. ἐλέγετο γὰρ ληστεύεσθαι ἡ Αἴγυπτος. Αἰσχύλος

δεινοὶ πλέκειν τοι μηχανὰς Αἰγύπτιοι.

καὶ Θεόκριτος ἐν Ἀδωνιαζούσαις [47]

οὐδεὶς κακοεργὸς
δαλεῖται τὸν ἰόντα παρέρπων Αἰγυπτιστί.

καὶ αἰγυπτιάζειν τὸ ὕπουλα πράττειν.⟧

1131. πέμπτη : [Κορωνὶς εἰσιόντων τῶν ὑποκριτῶν καὶ ἔκθεσις παρὰ τοὺς τετραμέτρους. ἔστι γὰρ τὰ ἑξῆς ἰαμβικὰ τρίμετρα κγ΄.] ἐξέρχεται δὲ ὁ Στρεψιάδης ἀριθμῶν τὰς ἡμέρας. οὕτω δὲ ἠρίθμουν Ἀθηναῖοι· — ἀπὸ τῆς νουμηνίας ὁμοίως ἡμῖν ἀριθμοῦσιν, α΄ β΄ γ΄ δ΄ ἕως

ι'· εἶτα ια' ιβ', τρίτη ἐπὶ δέκα, τετάρτη ἐπὶ δέκα ἕως εἰκάδος. εἶτα ἣν ἡμεῖς εἰκάδα πρώτην, δεκάτην φθίνοντος αὐτοί φασιν, εἶτα ἐνάτην ἕως ἕνης τε καὶ νέας. τὴν δευτέραν εἰκάδα καὶ ἐνάτην φθίνοντος Ἀθηναῖοι ἐκάλουν καὶ τὴν τρίτην ὀγδόην καὶ τὴν τετάρτην ἑβδόμην καὶ τὴν πέμπτην ἕκτην καὶ τὴν ἕκτην πέμπτην καὶ τὴν ἑβδόμην τετάρτην καὶ τὴν ὀγδόην τρίτην καὶ τὴν ἐνάτην εἰκάδα δευτέραν φθίνοντος, εἶτα τὴν τριακάδα ἕνην τε καὶ νέαν, ἐν ᾗ οἱ τόκοι ἀπητοῦντο. R.V. [τὰς μὲν ἀπὸ νουμηνίας ὁμοίως ἡμῖν, λέγοντες πρώτη ἱσταμένου, δευτέρα ἱσταμένου, μέχρι τῶν δέκα· μεθ' ἣν πρώτην ἐπὶ δέκα, εἶτα δευτέραν ἐπὶ δέκα. καὶ ἑξῆς ἄχρι εἰκοστῆς· ἡ αὐτὴ δὲ καὶ εἰκάς· μεθ' ἣν ἑνδεκάτην φθίνοντος, ἢ δεκάτην, ἢ ἐνάτην, ἢ ὀγδόην, ὡς ἔτυχεν ἔχων ὁ μήν· καὶ ἑξῆς ἀναλύοντι ἄχρι δευτέρας. οὕτω γὰρ Ἀθηναῖοι ἠρίθμουν, οὐ προστιθέντες, ἀλλ' ἀφαιροῦντες καὶ ἀναλύοντες μέχρι τριακάδος, Σόλωνος ἡγησαμένου, πρὸς τὰ τῆς σελήνης φῶτα οὕτω μειούμενα. μετὰ δὲ δευτέραν ἀκτέον ἕνην, τουτέστι τὴν τελευταίαν τοῦ μηνὸς ἡμέραν. Ἄλλως. πέμπτη, τετράς: οὐ προσέθηκε τὸ φθίνοντος. οὕτω γάρ, φασίν, Ἀθηναῖοι μετροῦσιν· ἀπὸ πρώτης ἕως δευτέρας προστιθέασι τὸ ἱσταμένου· ἀπὸ τρισκαιδεκάτης ἕως ἐννεακαιδεκάτης τὸ ἐπὶ δέκα. εἶτα ἡ μεγάλη εἰκάς. ἀπὸ εἰκοστῆς πρώτης ἕως εἰκοστῆς ἐνάτης τὸ φθίνοντος, τὴν δὲ τριακοστήν, ἕνην τε καὶ νέαν, ἐπεὶ μετέχει τοῦ τε παλαιοῦ καὶ τοῦ νέου φωτός. ταυτὸν δὲ καὶ Δημητριάδα προσηγόρευσαν. τὴν οὖν εἰκοστὴν δευτέραν ἐκάλουν ἐνάτην φθίνοντος· τὴν εἰκοστὴν τρίτην ὀγδόην· τὴν εἰκοστὴν τετάρτην ζ'· τὴν εἰκοστὴν πέμπτην ς'· τὴν εἰκοστὴν ἕκτην ε'· τὴν εἰκοστὴν ἑβδόμην δ'· τὴν εἰκοστὴν ὀγδόην γ'· τὴν εἰκοστὴν ἐνάτην β'· εἶτα τὴν τριακοστὴν ἕνην τε καὶ νέαν, ἐν ᾗ οἱ τόκοι ἀπητοῦντο, ἐπεὶ ἐν αὐτῇ συντελεῖται ὁ μήν, καὶ ἀρχὴν ἔχει τοῦ ἑτέρου μηνὸς τῆς σελήνης. ὥστε ἡ μὲν εἰκοστὴ ἕκτη παρ' αὐτοῖς πέμπτη ἀκούει, ἡ δὲ εἰκοστὴ ἑβδόμη τετρὰς λέγεται.]

1134. ἕνη καὶ νέα: Οὕτω παρ' Ἀθηναίοις ἡ παρ' ἡμῖν τριακάς, ἡ νεομηνία· ἐπειδὴ συμβαίνει ἐν αὐταῖς καὶ λήγειν τὴν σελήνην καὶ γεννᾶσθαι. τότε δὲ μὴ ταχέως ἀποδιδόντας τοὺς τόκους ἢ τὰ δάνεια ἀπήτουν, ὡς ὑπερώρους γενομένους. διὸ λυπεῖσθαί φησιν ὁρῶν ἐνισταμένην ἕνην καὶ νέαν. πέμπτη δὲ αὕτη ἐστὶ ς' φθίνοντος. [ἕνη καὶ νέα, ἡ νουμηνία. διὰ μὲν οὖν τὸ παρελθεῖν τὸν μῆνα, ἕνη, διὰ δὲ τὴν ἀρχήν, νέα. Ἄλλως. ἡ καλουμένη νουμηνία, διὰ τὸ τοῦ μὲν παρελθόντος μηνὸς εἶναι τέλος, ἀρχὴν δὲ τοῦ ἐνισταμένου. τὰς δὲ τριάκοντα ἡμέρας τῆς σελήνης εἰς τρεῖς δεκάδας Ἀθηναῖοι διαιροῦσι· καὶ τὴν μὲν πρώτην ὡς ἡμεῖς ἀπαριθμοῦνται, τὴν δὲ δευτέραν οὕτως· πρώτη ἐπὶ δέκα, δευτέρα ἐπὶ δέκα, ἄχρι τοῦ θ'. τὴν γὰρ εἰκάδα οὕτω καλοῦσι. τὴν δὲ εἰκάδα πρώτην ὑστέραν εἰκάδα· καὶ τὴν μετ' αὐτὴν θ' φθίνοντος, ἕως β' φθίνοντος, ἥτις ἐστὶν κθ'. τὴν δὲ τριακάδα ἕνην τε καὶ νέαν φασί.]

1136. θείς μοι πρυτανεῖα: Τὰς γὰρ δεκάτας τοῦ χρέους καταβάλλοντες τοῖς πρυτάνεσιν εἰσῆγον τοὺς χρεώστας. (πρυτανεῖα δὲ τὰ νῦν καλούμενα παρὰ Ῥωμαίοις σπόρτουλα.)

1142. ὀλίγον γάρ μοι μέλει: Ἀντὶ τοῦ, οὐδὲ ὀλίγον φροντίζω λοιπὸν τῶν δανειστῶν διὰ τὸ μεμαθηκέναι δηλαδὴ τὸν υἱὸν τὸν ἥττω λόγον, ᾧ περιεγένετο τῶν δίκαια λεγόντων. — δικαζέσθων: Ἀντὶ τοῦ δικαζέσθωσαν κατὰ ἀποκοπήν. *Vict.*

1145. ἠμί: Φημί, ἐνίημι. *Vict.*

1146. πρῶτον λαβέ: Θύλακον αὐτῷ ἐπιδίδωσιν ἀλφίτων. καὶ γὰρ ἄνω [669] εἶπε

διαλφιτώσω σου κύκλῳ τὴν κάρδοπον.

[τουτονὶ: Τὸν θύλακον, ὅς ἐστι μεστὸς ἀλφίτων. *C.* τὸν πλακοῦντα. *D.*]

1147. ἐπιθαυμάζειν: Ἀντὶ τοῦ δώροις τιμᾶν. R. θαυμαστῶς τιμᾶν καὶ δεξιοῦσθαι. Junt., *Br.* θαυμάζειν: Θαυμαστῶς τιμᾶν καὶ ἀξιοῦσθαι. *Vict.*

1149. (ἀρτίως: Ὅτι διαφέρει τὸ ἄρτι τοῦ ἀρτίως παρὰ Ἀττικοῖς. ἄρτι μὲν γὰρ ἀντὶ τοῦ νῦν, ἀρτίως δὲ ἀντὶ τοῦ πρὸ ὀλίγου.)

1150. [Ἀπαιόλη: Πέπλακεν ὄνομα δαίμονος, σωματοποιήσας αὐτήν, παρὰ τὸ ἀπαιολεῖν καὶ κινεῖν καὶ στερεῖν· ἤ τινα τοιαύτην, ὡς ἂν εἴποι τις, ὦ Ἀδικία. Ἀριστοφάνης δὲ ὀξύνεσθαί φησι τὴν ἐσχάτην, Ἀπαιολή. τὸ δὲ ὥστε πρὸς τὸ μεμάθηκε. τὸ γὰρ ὦ παμβασίλεια διὰ μέσου.] ἀποστέρησις. R.

1152. ἐρωτηματικῶς. R.

1154. βοάσομ' ἄρα: [Διπλῆ καὶ εἴσθεσις εἰς μέλος ἀμοιβαῖον τῶν ὑποκριτῶν εἰκοσάκωλος. τὸ μὲν πρῶτον ἐξ ἰαμβικῆς βάσεως, τῶν ἄρα δύο βραχειῶν ἀντὶ μιᾶς μακρᾶς λογιζομένων, καὶ τροχαϊκοῦ πενθημιμεροῦς. τὸ δεύτερον ἐξ ἰαμβικῆς βάσεως καὶ τροχαϊκοῦ ἑφθημιμεροῦς. τὰ δὲ ἑξῆς δύο ἰαμβικὰ τρίμετρα ἀκατάληκτα. μεθ' ἃ δακτυλικὰ πενθημιμερῆ τρία. τὸ ὄγδοον ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χορείου δίμετρον. τὸ ἔνατον ἐξ ἐπιτρίτων τρίτων δίμετρον ὑπερκατάληκτον. τὸ δέκατον ἐκ διτροχαίου καὶ ἀντισπάστου, εἴτε ἐπιτρίτου τετάρτου καὶ διιάμβου. τὰ ἑξῆς δύο χοριαμβικὰ δίμετρα βραχυκατάληκτα. τὸ τρισκαιδέκατον ἐκ χοριάμβου καὶ σπονδείου. τὸ ιδ' σπονδειακὴ ταυτοποδία. τὸ ιε' ἐκ παίωνος τετάρτου καὶ ἰάμβου. τὸ ις' ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ ιζ' δακτυλικὸν δίμετρον ἀκατάληκτον. τὸ ιη' ὅμοιον τῷ ιε'. τὰ ἑξῆς δῆλα. ζητητέον δὲ περὶ πάντων ἀκριβέστερον.] παρὰ τὰ ἐκ Πηλέως Εὐριπίδου. ἐπιφέρει γὰρ

ἰώ, πύλαισιν ἤ τις ἐν δόμοις;

(καὶ Φρύνιχος Σατύροις

βοάσομαί τἄρα τὰν ὑπέρτονον
βοάν.

ὑπέρτονον δὲ, μεγάλην, ὑπέροχον. φησὶ δέ, εἰ οὕτως ὁ παῖς ἐκπεπαίδευται, μέγιστον ὑπὸ χαρᾶς ἐκβοήσομαι. εἴρηται δὲ διαλέκτῳ Δωρίδι.)

1155. ὦ 'βολοστάται : Δανεισταί. *Vict.*

1156. τἀρχαῖα : Τὰ κεφάλαια. *C. D.* τ' ἀρχεῖα : Οἱ γὰρ πρῶτοι τόκοι παρατεθέντος τοῦ δανείου κεφάλαια γιγνόμενοι τόκους ἄλλους γεννῶσι. *Vict.*

1160. ἀμφήκει γλώττῃ : Ὡς ἀπὸ εὐθείας τῆς ἀμφήκης. ἀκολούθως τῷ [1108]

εὖ μοι στομώσεις αὐτόν.

ἀμφήκει : Ἀμφοτέρωθεν ἠκονημένῃ. *Vict.*

1161. πρόβολος : [Προβαλλόμενος,] προστάτης, τεῖχος, ἀσφάλεια. R. V.

1162. ἀνιαρὸς : Βλαβερός. *D.*

1163. λυσανίας : Λύων τὰς τοῦ πατρὸς ἀνίας. ἐκτεταμένως δὲ προενεκτέον τὴν πρώτην καὶ τὴν τρίτην συλλαβήν. [πρὸς δὲ τὴν ὀνοματοποιίαν τὸν Σοφοκλέα μυκτηρίζει λέγοντα

Ζεὺς νόστον ἄγοι τὸν νικομάχαν,
καὶ παυσανίαν κατ' Ἀτρειδᾶν.]

1165. ὁ Εὐριπίδης ἐν τῷ τῆς Ἑκάβης δράματι δι' αὐτῆς φησιν· [172 sq.] ὦ παῖ παῖ, Πολυξένη δηλονότι, ἔξελθ', ἔξελθ' οἴκων. LB.

1170. τὸ ἰοῦ ἰοῦ ἐπὶ χαρᾶς περισπᾶται. (Ἄλλως. ἰοῦ ἰοῦ. διπλῆ, εἶτα καὶ) εἴσθεσις. εἰς προαναφώνησιν τὸ ἰοῦ ἰοῦ, καὶ ἴαμβοι τρίμετροι ε' ἐν εἰσθέσει. R. V.

1171. χροίαν : Ὡς ἐκ τῆς ἀσκήσεως ὠχριάσαντος. οἱ Ἀττικοὶ δὲ παροξύνουσι τὴν χρόαν.

1172. ἰδεῖν εἶ : λείπει ἡ εἰς· ἵν' ᾖ, εἰς τὸ ἰδεῖν. [ἐξαρνητικὸς δὲ ἀρνεῖσθαι δυνάμενος. — ἰδεῖν. Εἰς τὸ ἰδεῖν. *Vict.*]

1174. ἀτεχνῶς : Ἄγαν ἀκριβῶς. ἐπανθεῖ δὲ, πλεονάζει, ἀκμάζει. — ἐπανθεῖ : Ἀκμάζει : *Vict.*

τί λέγεις σύ : Τῷ περὶ τὴν συνήθειαν καὶ ἀνὰ χεῖρα ἐχρήσατο. εἰώθαμεν γὰρ ἐν ταῖς τῶν ἐναντίων διαλέξεσι λέγειν, τί λέγεις σύ; ὅτε γὰρ τοὺς ἐναντίους καταπλῆξαι βουλοίμεθα, τῇ τοιαύτῃ φωνῇ χρώμεθα· οἵ τε ἀναισχυντοῦντες παρὰ Ἀθηναίοις ἀνθιστάμενοι ἔλεγον, τί λέγεις σύ;

1176. βλέπος : Ἀντὶ τοῦ πανοῦργον τὸ βλέμμα. οἱ γὰρ Ἀθηναῖοι ἐπὶ πανουργίᾳ καὶ ἀναιδείᾳ διεβάλλοντο. (τὸ δὲ χ πρὸς τὸν σχηματισμὸν τῆς λέξεως.) — Ἀττικὸν βλέπος : Ἤγουν βλέμμα καὶ ἦθος, οἷον οἱ Ἀθηναῖοι ἔχουσι, δριμὺ καὶ τιτανῶδες. διαβάλλει δὲ αὐτοὺς ὡς θρασεῖς καὶ ἑτοίμους προδήλως εἰς τὸ ἀδικεῖν. LB.

1178. διὰ τὰ χρέα. R.

1179. ἔνη γάρ ἐστιν : Ἀντιλέγει τῷ ὁμολογουμένῳ, ὅτι οὐκ ἔστιν ἔνη καὶ νέα μία ἡμέρα, ἀλλὰ δύο, ἔνη μὲν ἡ τριακάς, νέα δὲ ἡ νουμηνία. καὶ οὕτως ὁ Σόλων τὰς μὲν κλήσεις τῶν δικῶν τῇ τριακάδι φησὶ γίνεσθαι, ὅπως ὁ κληθεὶς εἰς δίκην ἔχῃ ὅλην τὴν τριακάδα εἰς τὸ σκέψασθαι τὰ περὶ ἑαυτοῦ, ὥστε ἐν ταυτῷ καὶ τὰ πρυτανεῖα θεῖναι ἐν τῷ δημοσίῳ.

1181. ἀπολοῦντ' ἄρ' : Ζημιώσονται ταῦτα ἅπερ ἀναλώσουσι. [σοφίζεται δὲ ὅτι οὐ δύναται εἶναί τις ἡμέρα ἡ αὐτὴ ἔνη καὶ νέα.]

οὐ γάρ ἐσθ' ὅπως : Ἀδύνατον τὰς δύο ἡμέρας μίαν γενέσθαι, καὶ δείκνυσιν ὅτι οὐ τῆς μιᾶς ἡμέρας τὰ δύο ὀνόματα, ἀλλὰ τὸ μὲν τῆς τριακάδος ἡ ἔνη, τὸ δὲ τῆς νουμηνίας ἡ νέα.

1184. [γραῦς τε καὶ νέα : Διὰ τοῦτο τὸ παράδειγμα τῆς γυναικὸς ἔθηκε, διὰ τὸ τὴν ἔνην ἀρχαίαν καὶ παλαιὰν καὶ ὥσπερ τέλος τοῦ ὄπισθεν μηνὸς ἡγεῖσθαι, νέαν δὲ τὴν πρώτην, ἀφ' ἧς ὁ μὴν ἄρχεται.]

1187. ὁ Σόλων ὁ παλαιὸς : Ἀρχὴ ἐστὶν αὕτη τῆς τοῦ νόμου διηγήσεως. Σόλων δὲ ὁ νομοθέτης. ἀπομιμεῖται δὲ τοὺς ῥήτορας τοὺς τὰ μὲν ὀνόματα τῶν νομοθετῶν λέγοντας, μὴ μέντοι τοὺς νόμους εἰδότας.

1188. τουτὶ μὲν : Οὐκ ἀνασχόμενος ὁ Στρεψιάδης ἀκοῦσαι πάντα τὸν λόγον ἐκ περικοπῆς τοῦτό φησι, τὸ, οὐδέν ἐστι τοῦτο πρὸς τὴν ἔνην τε καὶ νέαν.

1189. τὴν κλῆσιν : Τὴν ἐν ταῖς δίκαις (εἰσαγωγήν). καλοῦνται γὰρ εἰς τὸ δικαστήριον.

1191. ἵν' αἱ θέσεις : Αἱ καταβολαὶ τῶν πρυτανείων· ὅπερ μισθὸς ἦν τῆς εἰσαγωγῆς τῆς δίκης. ἐδίδοτο γὰρ δραχμὴ τῷ δημοσίῳ.

1192. ἵν' ὦ μέλε : [Ἵνα, φησὶ, παρόντες οἱ ἐναγόμενοι, εἰ συνειδοῖεν ἑαυτοῖς ἀδικοῦσι καὶ ὀφείλουσι, τοῦ δικάζεσθαι ἀπαλλάττοιντο, διαλυσάμενοι πρὸς τοὺς δανειστὰς διὰ τῆς τῶν τόκων ἀποδόσεως· εἰ δὲ μὴ οἰκείᾳ ἀποδοῖεν γνώμῃ, ὑπὸ τοῦ δικαστηρίου λυποῖντο. εἰς σκέψιν οὖν αὐτοῖς, φησὶν, ἐδίδοτο ἡ τριακοστή. Ἄλλως.] ἵνα πρὸ μιᾶς ἡμέρας παραστάντες οἱ κατηγορούμενοι διαλυθῶσιν· εἰ δὲ μὴ, τῇ νουμηνίᾳ δικάζοιντο. εἰς σκέψιν οὖν αὐτοῖς, φησὶν, ἐδίδοτο ἡ τριακάς.

1194. ἀντὶ τοῦ ἄνευ δίκης R.V.

1195. ὑπανιῷντο : Ἀντὶ τοῦ μετὰ βίας ἀπαιτοῖντο, μαστίζοιντο.

1196. διὰ τί οὐκ ἔμεινε τὸ ἔθος, ἀλλὰ τῇ τριακάδι καταβάλλουσι, δέον τῇ νουμηνίᾳ;

1197. [ἔνῃ τε καὶ νέᾳ : Ἀποδεικτικὸς τόπος, ὅτι ἔνη καὶ νέα λέγεται ἡ τριακάς. ἀντιδιέσταλκε γὰρ πρὸς νουμηνίαν. ἀρχαὶ δὲ, οἱ ἄρχοντες.] (πρυτανεῖα δὲ, τὰ διδόμενα ὑπὸ τῶν δικαζομένων τῷ δημοσίῳ ἀργύρια.)

(1198). [ὅπερ οἱ προτένθαι : Οὐκέτι γὰρ δίδοται αὐτοῖς ἡ σκέψις ἡ πρὸ μιᾶς, ἀλλ' εὐθὺς ἐπὶ τὸ καταβαλεῖν ὁρμῶσιν. εἰκὸς γὰρ αὐτοὺς ἀποσκεπτομένους τῇ ἐνδοσίμῳ τριακοστῇ, καταβάλλειν χωρὶς δίκης τὸ χρέος, καὶ μηκέτι τούτους λαμβάνειν τὰ πρυτανεῖα. διὰ τοῦτο τοίνυν προέλαβον τὴν προθεσμίαν ὑπὸ τοῦ ἐπιθυμητικῶς ἔχειν, ὑπὸ τοῦ κερδαίνειν ἡττώμενοι.] προτένθαι δὲ οἱ προλαμβάνοντες τὰ ὄψα, πρὶν εἰς τὴν ἀγορὰν κομισθῆναι, [καὶ μεταπιπράσκοντες πλείονος· οἱ νῦν μετάβολοι καλούμενοι· ἢ λίχνοι, ἢ ἀκρατεῖς]. — οἱ πρὸ καιροῦ τῶν σφαγίων ἀπογευόμενοι. R. V. λαίμαργοι. *Br.* προτένθαι : Τένθης, λίχνος καὶ γαστρίμαργος. Αἰλιανός. τένθης καὶ ὀψοφάγος· τένθειν δὲ τὸ ἐσθίειν. Vict.

1199. [ὅπως τάχιστα : Τοῦτο οὕτω συντάξεις· ὅπως

τάχιστα ὑφελοίατο καὶ λάβοιεν τὰ πρυτανεῖα, διὰ τοῦτο προὐτένθευσαν καὶ προὔλαβον ἡμέρᾳ μιᾷ. δοκοῦσι γάρ μοι παθεῖν ὅπερ οἱ προτένθαι. ἐποίησε δὲ τὴν σύνταξιν ἀσαφῆ τῷ προτάξαι τὴν κατασκευήν. E.]

(ὑφελοίατο : Λάβοιεν.)

1200. προὐτένθευσαν : (Προελιχνεύσαντο. προέλαβον τὴν προθεσμίαν ὑπὸ τοῦ ἐπιθυμητικῶς ἔχειν, ἢ ὑπὸ τοῦ κερδαίνειν ἡττώμενοι.) προὐθέσμευσαν ἡμέραν μίαν. — ἐλαιμάργησαν, προέλαβον. *Br.*

1201. ἀβέλτεροι : Ἀντὶ τοῦ ἀνόητοι. βέλτερος γὰρ ὁ φρόνιμος. [ἢ ἀπαίδευτοι. πρὸς δὲ τοὺς θεατὰς ποιεῖται τὸν λόγον. διὰ γὰρ τοῦ μωροῦ δοκιμάζεται ὁ φρόνιμος. — ἀμαθεῖς. *Br.*]

1202. κέρδη : Τρυφὴ, γέλως, ἀπάτη. λίθοι : Ἀναίσθητοι. *Br.*]

1203. [ἀριθμὸς : Μάταιον πλῆθος. (πρόβατ' ἄλλως : Ἁπλούστατοι μάτην. ἀμφορῆς : Μεγαρικὰ σεσωρευμένα. *Br.* ἀμφορεῖς νενοισμένοι : Ἐστερημένοι οἴνου ἢ φρονήσεως. *LB.* νενασμένοι : Ναίω, νήω ἢ νάσσω· μέλλων νάσω, νένακα, νένασμαι, νενακὸς ἡ μετοχή. *Vict.*] ματαίως κέραμοι σεσωρευμένοι. νῆσαι γὰρ τὸ σωρεῦσαι. R.V̄.

1205. τὸ τέλειον ᾀστέον μοι ἐγκώμιον. R.

1206. μάκαρ ὦ Στρεψίαδες : Ὡς ἄγροικος περὶ τὴν κλητικὴν ἐσφάλη· ἔδει γὰρ εἰπεῖν ὦ Στρεψιάδη. ἔπαιξεν οὖν παρὰ τὴν ἀναλογίαν.[ἔκθεσις δὲ τῆς διπλῆς περιοδικὴ εἰς μέλος μονοστροφικὸν τοῦ ὑποκριτοῦ ὀκτάκωλος· ὧν τὸ πρῶτον Ἰωνικὸν ἀπ'[ἐλάσσονος δίμετρον καταληκτικόν· εἰ δὲ βούλει, ἀναπαιστικὸν πενθημιμερές. τὸ δεύτερον Ἰωνικὸν ἀπὸ μείζονος ἐφθημιμερὲς ἀντὶ Ἰωνικοῦ ἔχον ἐπίτριτον τρίτον. τὸ τρίτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ τέταρτον ὅμοιον τῷ δευτέρῳ. τινὲς δὲ ταῦτα τὰ τρία ἀπὸ ἰαμβικῆς βάσεως καὶ τροχαϊκῆς κατακλεῖδος. τὸ πέμπτον ἰαμβικὸν ἐφθημιμερές. τὸ ς' Ἰωνικὸν τρίμετρον καταληκτικὸν ἐκ διτροχαίου καὶ ἐπιτρίτου τρίτου καὶ Κρητικοῦ· εἰ δὲ βούλει, τροχαϊκὸν τρίμετρον καταληκτικὸν ἰάμβου κατὰ τὴν τετάρτην χώραν, ὡς ἐπὶ τῆς παραβάσεως, τιθεμένου. ἢ τὸ μὲν πέμπτον Ἰωνικὸν δίμετρον ἀκατάληκτον, τὸ δ' ἕκτον ἐξ ἰαμβικοῦ πενθημιμεροῦς καὶ δοχμίου συζυγίας. συνῆψε τῇ λέξει καὶ ἑτέραν διαίρεσιν τὴν εἰς ἰαμβικὸν τρίμετρον ὑπερκαταληκτικὸν καὶ δόχμιον. τὸ ἕβδομον Ἰωνικὸν δίμετρον ὑπερκατάληκτον, ἐξ Ἰωνικοῦ καὶ διτροχαίου· ἢ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ὄγδοον Ἰωνικὸν ἡμιόλιον, ἐκ διτροχαίου καὶ σπονδείου· ἢ τροχαϊκὸν ἰθυφαλλικόν. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι· ἡ μὲν ἐν ἀρχῇ, ἡ δὲ κατὰ τὸ τέλος. ἔστι δὲ καὶ ταῦτα πολυσχημάτιστα κατὰ τὸν εἰρημένον τρόπον.]

1209. φήσουσι τοῦτο τὸ μάκαρ ὦ Στρεψιάδες καὶ οἱ φίλοι καὶ οἱ δημόται. R.

1214. [κορωνὶς ὁμοία ταῖς ῥηθείσαις. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι με', ὧν τελευταῖος

ὅτιὴ 'κάλεσας εὐηθικῶς τὴν κάρδοπον.

ἐπὶ τῷ τέλει κορωνίς.]

οὗτος δανειστὴς Στρεψιάδου Πασίας, ἄγων σὺν ἑαυτῷ μάρτυρα, ᾧ διαλέγεται ἀσχάλλων ἐπὶ τῷ μὴ κεκομίσθαι ἅπερ ἐδάνεισε χρήματα. φησὶν οὖν, οὐ χρὴ ῥᾳδίως ἄλλοις προΐεσθαι τὰ ἑαυτοῦ χρήματα. ἐμφαντικῇ δὲ λέξει ἐχρήσατο, οὔτε διδόναι φήσας· ὁ γὰρ δῶρόν τι λαβὼν οἶδε τάχα τῷ διδόντι χάριν· οὔτε χρῆσαι εἰπών· ὁ γὰρ δανείσας ἐπ' ὠφελείᾳ δίδωσί τινι, ἀλλ' εὗρεν ὄνομα τὸ προϊέναι, μόνον οὐχὶ τὴν δύναμιν τοῦ ῥίπτειν καὶ σκορπίζειν ἔχον. — τὸ δὲ προϊέναι, προδιδόναι καὶ κιχρᾶν. οὔτε δὲ χαρίσασθαι ἔφη· οὐδὲ γὰρ ἐχαρίσατο· οὔτε δανεῖσαι, ἀλλὰ προϊέναι, ὃ τὸ ῥῖψαι καὶ ἀπολέσαι. V.

1216. ἀπερυθριᾶσαι : [Ἀντὶ τοῦ, ἀρνησάμενον μὴ χρῆσαι, ἢ χρήσαντα πράγματα ἔχειν.] ἀπαναισχυντῆσαι εἰπόντα ὅτι οὐκ ἔχω. — ἀπερυθριάσαι ἐκ τοῦ μὴ διδόναι δάνειον, μᾶλλον ἢ λαβεῖν ὕστερον ὀχλήσεις ἐν τῇ ἀπαιτήσει. *Br.*

1217. ὅτε : Ἐπεί. *Br.*

1218. τῷ μάρτυρί φησιν ὅτι καλῶ σε εἰς δικαστήριον μαρτυρήσοντα. R. V.

1219. ὅτι ἀπαιτεῖ φίλον, ὃ συμβαίνειν εἴωθεν. V. δημότη : ἀπὸ τοῦ αὐτοῦ δήμου τῷ μάρτυρι δηλονότι. R.

1220. κατηγορεῖ Ἀθηναίων, ὡς περὶ τὰς δίκας ἀεὶ διατριβόντων. *Br.* ὅτι φιλοπράγμονες οἱ Ἀθηναῖοι. R. V.

1222. ἐς τὴν ἕνην τε καὶ νέαν : Εἰς δικαστήριον δηλονότι. ὑπερβατὸν δέ· ἀλλὰ καλοῦμαι Στρεψιάδην εἰς τὴν ἕνην τε καὶ νέαν. ἀπὸ κοινοῦ δὲ τὸ καλοῦμαι.

1223. τοῦ χρήματος : Λείπει χάριν, ἢ περί, Ἀττικῶς. ἕνεκεν τοῦ χρήματος, οἷον τοῦ πράγματος, [ἐρωτηματικῶς. εἶτα ἀποκρίνεται ὁ δανειστὴς, τῶν δώδεκα μνῶν, καὶ τὰ ἑξῆς.]

1225. τὸν ψαρὸν : Τὸν τὸ χρῶμα τοιοῦτον, ἢ τὸν ταχὺν, ἀπὸ τοῦ ψαίρειν· ὅθεν καὶ αἰψηρός. — ποικίλον. *Br.* λευκόν. *D.*

οὐκ ἀκούετε : Αὐτοῦ διαβάλλοντός με. *C.* αὐτὸν διαβάλλοντά με. *D.*

1226. ἱππικήν : Ταῦτα λέγει ὡς συκοφαντούμενος ὑπ' αὐτοῦ. R. V.

1228. νὴ τὸν Δί' : Ναὶ ὤμνυον δηλονότι. *Vict.* ἐξηπίστατο : Ἦν μαθών. *Harl.*

1229. τὸν ἀκατάβλητον : Τὸν ἀήττητον· τὸν μηδὲν καταβάλλοντα. [πρὸ δὲ τοῦ, μὰ τὸν Δία, τὸ ναὶ ληπτέον ἔξωθεν, οὕτως· ναὶ ὤμνυον· οὐ γὰρ ἠπίστατο μὰ τὸν Δία ὁ Φειδιππίδης· καὶ τὰ ἑξῆς.]

1230. ἔξαρνος : Ἐξαρνούμενος. *Vict.*

1231. τῆς μαθήσεως· διὰ τοῦτο γὰρ ἔμαθον. V.

1233. ἵν' ἂν : Ἀντὶ τοῦ ὅπου ἂν σε κελεύσω ἐγώ. V. ὅπου τὸ ἵνα μεθερμηνευτικόν ἐστι. *Br.*

1235. προσκαταθείην : Τουτέστι καὶ ζημιωθείην ἂν τρεῖς ὀβολοὺς, ἵνα ἐπιτρέψῃς μοι ὀμόσαι τοὺς θεούς· οὕτω καταφρονῶ τοῦ ὅρκου. θεοὶ γὰρ οὐκ εἰσί. [τὸ δὲ

ἑξῆς, καὶ προσκαταθείην ἂν τριώβολον, ὥστε ὀμόσαι νὴ Δία. — κἂν προσκαταθείην : Μὰ τὸν Δία καὶ προκαταθείην ἂν ἤτοι προκαταβάλοιμι τρ. Cant. 3.]

1237. διασμηχθεὶς : Ὡς ἐπὶ κεράμου ἢ ἀσκοῦ τὸν λόγον ποιεῖται, οἵτινες σμηχόμενοι ἁλσὶ βελτίονες γίνονται· ἅμα δὲ ὅτι τοὺς παραφρονοῦντας διαβρέχομεν ἁλσὶ καὶ ἐλαίῳ, καὶ ὠφελοῦνται. (Ἄλλως. ὡς παχύδερμον αὐτὸν χλευάζει. τὰ γὰρ παχέα ὑπὸ πιμελῆς τῶν δερμάτων ἁλσὶ μαλαττόμενα εὐρύτερα γίνεται. ὄναιτο οὖν, φησίν, ἀποκαθαρθεὶς τὴν παχύτητα. ἡ μεταφορὰ ἀπὸ τῶν βυρσῶν. ταῦτα δὲ λέγει ἤτοι ἀσκὸν ἢ ἀγγεῖον χαλκοῦν βαστάζων.) [ὡς ἐπ' ἀγγείου ἢ ἀσκοῦ· τινὲς δέ, ὡς ἐπὶ οἴνου. οἱ γὰρ δεχόμενοι ἅλας οὐ τρέπονται. Ἄλλως. τὴν μεταφορὰν εἴληφεν ἀπὸ τῶν κεράμων καὶ τοῦ οἴνου, οἷς ἅλες βάλλονται ὑπὲρ τοῦ μὴ ἐξίστασθαι μηδὲ ὀξίζειν εὐχερῶς. ἢ ἐπεὶ τοὺς ὑπὸ μέθης ὥσπερ παραφρονοῦντας ὑποβρέχειν εἰώθαμεν ἐλαίῳ ἁλσὶ μεμιγμένῳ. ὡς οὖν τοῦ δανειστοῦ μὴ καθεστηκότος, ἀλλὰ καὶ παραφρονοῦντος, ὡς ἐπὶ ὡμολογημένοις ἔξαρνός ἐστιν, οὕτω τῇ μεταφορᾷ ἐχρήσατο. φησὶν οὖν, οὐ τὰ τυχόντα οὗτος ὠφεληθείη διαβρεχθεὶς ἁλσίν. — καθαρθείς· τὰ γὰρ πασσόμενα κρέα δυσωδίας καὶ σκωλήκων καθαίρεται. Θ.]

1238. ἓξ χοᾶς χωρήσεται ὁ ἐγκέφαλος αὐτοῦ. ἅμα δὲ ἐπὶ κεράμου ἢ ἀσκοῦ ἔμεινε μεταφορᾶς, ὃς ἐὰν σμηχθῇ, πλέον χωρεῖ τῶν ἐμπεφρακότων ἀποβεβλημένων. R.V. [ἓξ χοᾶς : Πάλιν χλευάζει ὡς ἐπὶ ἀμφορέως καὶ οἴνου. ἢ πρὸς τὰ ἀνωτέρω, ἂν σμηχθῇ, πλέον χωρήσει. ὥσπερ λήκυθος ἢ ἀσκὸς, ἢ ἄλλο τι τῶν τοιούτων. πλέον γὰρ χωρεῖ τῶν ἐμπεφρακότων ἀποβεβλημένων. χοεὺς δέ ἐστιν εἶδος μέτρου, ᾧ μετροῦσι τὸν οἶνον. ὃ καὶ κλίνεται χοέως, ὡς Πηλέως· ὡς καὶ ἐν Ἱππεῦσι [95] φησὶν

ἀλλ' ἐξένεγκέ μοι ταχέως οἴνου χοᾶ.

ἐνταῦθα δὲ τὸ χοᾶς, εἰ μὲν περισπᾶται, ἐκ τούτου τοῦ χοεύς ἐστι, κατὰ ποιητικὴν ἄδειαν. χοῆς γὰρ ὤφειλεν εἰπεῖν ὡς ἱππῆς. εἰ δὲ βαρύνεται, ἐξ ἑτέρας ἐστὶν εὐθείας, ἥτις ἐστὶν ἡ χοὴ θηλυκῶς, καὶ κλίνεται τῆς χοῆς.

1240. καταπροΐξει : Καταφρονήσεις· παρὰ τὴν προῖκα. δωρεὰν ἐπεγχανῇ μοι.]

ἥσθην : Παρεπιγραφή ἐστι. γελῶν γὰρ τοῦτό φησιν. ἐκκαχάζει γὰρ τῆς προσηγορίας ἀκούσας τοῦ Διὸς, γέλωτα τὸν ἐκείνου τιθέμενος ὅρκον. ταῦτα δέ φησιν, ἐπεὶ δεδίδακται μήτε τὸν Δία μήτε τοὺς ἄλλους ἡγεῖσθαι θεοὺς, ἀλλὰ ἢ τὰς Νεφέλας καὶ τὸν Δῖνον, ὡς ἔφησεν ὁ Σωκράτης.

1241. τοῖς εἰδόσιν : Ἀντὶ τοῦ, ἐμοὶ τῷ εἰδότι. [ἢ τοῖς ἐπιστήμοσι καὶ εἰδόσιν, ὅτι ὁ Ζεὺς οὐδείς ἐστι. διὸ καὶ γέλωτος ποιητικὸς ὁ Ζεὺς ὁ παρὰ σοί.]

1242. ἀντὶ τοῦ ὑπὲρ ὧν ἐβλασφήμησεν. V.

1246. εἰπὲ μόνον τὸ δοκοῦν σοι. R.V. [ἀποδώσειν σοι : Τινὲς τοῦτο τοῦ κλητῆρος εἶναι λέγουσιν. ἢ εἰσελθόντος τοῦ Στρεψιάδου ὁ δανειστής φησι πρὸς τὸν μάρτυρα.] τῷ μάρτυρί φησιν ὁ δανειστὴς εἰσελθόντος τοῦ Στρεψιάδου. R. ὁ μάρτυς φησὶ τῷ Πασίᾳ εἰσελθόντος τοῦ Στρεψιάδου, ὅτι τί σοι δοκεῖ δράσειν ὁ Στρεψιάδης. εἰσέρχεται δὲ ἐκβάλλειν κάρδοπον, ἵνα αὐτῷ διαλεχθῇ καθὼς ἐδιδάχθη ὑπὸ τοῦ Σωκράτους. V.

1248. (τουτὶ τί ἐστιν : Εἰσελθὼν ὁ Στρεψιάδης προῆλθε πάλιν τῆς οἰκίας, σκαφίδιον ἢ μαγίδιον ἐξαγαγών. ἀνερωτᾷ οὖν αὐτὸν καὶ πυνθάνεται, ὅ τί ποτε αὐτὸ προσαγορεύοι. ὁ δὲ συνήθως τοῦτό φησιν ἀρσενικῶς, κάρδοπος. οὗτος δὲ ὑπὸ τοῦ Σωκράτους καρδόπην αὐτὸ δεδίδακται λέγειν. ἵνα οὖν ἀμαθῆ καὶ ἀπαίδευτον ἀπὸ τοῦ πρώτου ἀποδείξῃ τὸν δανειστήν, οὕτω φησίν.) ἐξ ὧν ἔμαθε παρὰ Σωκράτους. R.

1252. οὐχ ὅσον γέ μ' εἰδέναι : (Ἀντὶ τοῦ ὡς νομίζω.) ἐν ὅσῳ ἐν ἐμαυτῷ εἰμι καὶ οἶδά τι.

1253. ἀπολιταργιεῖς : Ἀντὶ τοῦ ἀποδραμεῖ, ἀποσκιρτήσεις ἀπὸ τῆς θύρας. ἔνεστι δὲ ἐν τῇ λέξει τὸ ἀργὸν, ὅπερ ἐστὶ τὸ ταχὺ, καὶ τὸ λίαν. οὐ ταχέως οὖν, φησὶν, ἀποδραμεῖ. λιταργισμοὺς δὲ ἐκάλουν καὶ τὰ σκιρτήματα. — ὑποχωρήσεις, ἀπέλθῃς. *Br.*

1255. θήσω πρυτανεῖα : Γραφὴν κατὰ σοῦ ποιήσομαι. ἐν γὰρ τῷ πρυτανείῳ ἐτίθεσαν τὰς τῶν δικῶν γραφάς.

1256. προσαποβαλεῖς : Ἀντὶ τοῦ ζημιωθήσῃ καὶ τὰ πρυτανεῖα πρὸς ταῖς δώδεκα μναῖς. [ὅ ἐστι τὸ δέκατον τοῦ τιμήματος τῆς δίκης· ὅπερ καλεῖται συνωνύμως παρακαταβολή.] — ἀπολέσεις, φησὶ, καὶ τὰ ἐπὶ τῇ γραφῇ ἀναλώματα, μάτην αὐτὰ ποιήσας, διὰ τὸ περιέσεσθαί σου τὸν υἱόν μου λέγοντα τὸν ἀδικώτερον λόγον. V.

1258. ὅτι ἣν ἔδει σε καρδόπην, εἴρηκας κάρδοπον. εὐηθικῶς δὲ ἀντὶ τοῦ ἀπαιδεύτως. R. V. εἴρηκας ἀνοήτως. ὡς δὲ βέβαιον ἔχων τὸ νικῆσαι κατειρωνεύεται αὐτοῦ. V.

1259. [ἰώ μοί μοι : Κορωνὶς ἑτέρα ὁμοία. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι μγʹ. ὧν προτίθεται κῶλα δύο· τὸ πρῶτον ἀντισπαστικὸν μονόμετρον ἀκατάληκτον· τὸ δεύτερον ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον. ὁ δὲ τελευταῖος τούτων

αὐτοῖς τροχοῖς τοῖς σοῖσι καὶ ξυνωρίσιν.

ἐπὶ τῷ τέλει κορωνίς.]

1261. τῶν Καρκίνου : Ἐπεὶ τραγικῶς ἀνεφώνησε τὸ ἰώ μοί μοι. οἱ δὲ Καρκίνου παῖδες Ξενοκλῆς καὶ Ξενότιμος, καὶ ὁ μὲν χορευτής, Ξενοκλῆς δὲ τραγῳδίας ποιητής. παρ' ὑπόνοιαν δὲ εἶπε, δέον παίδων. [Ἄλλως. φασὶν ὡς ὁ Καρκίνος οὗτος ποιητὴς ὢν τραγικὸς, εἰσήγαγέ τινας τῶν θεῶν ἔν τινι δράματι δεινοπαθοῦντας. Junt., Vict. δαιμόνων : Δαίμονες οἱ θεοὶ, δαήμονές τινες ὄντες ἢ ζα . . . . ροι ἢ ἀπὸ τοῦ πάντα μερίζεσθαι, δάσσεσθαι. *Vict.*

1263. οἷον κατὰ σαυτοῦ νῦν χώρει καὶ μὴ καθ' ἡμῶν. R. V.

1264. ὦ σκληρὲ δαῖμον : Ταῦτα Ξενοκλέους ἐστὶν ἐκ

τοῦ Λικυμνίου. λέγεται δὲ ὑπ' Ἀλκμήνης Λικύμνιον τεθνηκέναι ὑπὸ Τληπολέμου. διὸ καὶ ἐπιφέρει « τί δαί « σε Τληπόλεμός ποτ' εἴργασται κακόν; » Εὐφρόνιος παρὰ Ξενοκλεῖ φησιν εἶναι τὸ χρυσάντυγες, ἐξ οὗ παραπεποιῆσθαι τὸ θραυσάντυγες. τοῦτο, ἐπεὶ ἐμνήσθη αὐτοῦ ἀπὸ τοῦ πατρός. [Ἄλλοι δὲ τραγικὸν ὑποκριτὴν εἶναι τὸν Τληπόλεμον, συνεχῶς ὑποκρινόμενον Σοφοκλεῖ. εἰκότως δὲ τούτοις ὁ δανειστὴς χρῆται. διὰ γὰρ ἱπποτροφίαν ἐπτώχευσεν. — θραυσάντυγες : Ἄντυξ, ἅρματος περιφέρεια. *Vict.*]

1267. ὦ 'τάν : Ὦ σύ, ὦ ἑταῖρε, ὦ οὗτος, ὦ μακάριος, πρόσρημα τιμητικῆς λέξεως· λέγεται δὲ καὶ ἐπὶ εἰρωνείᾳ πολλάκις. *Vict.*

1269. λείπει τὸ ἐμοί. κακῶς : ἀτυχῶς. R.

1271. κακῶς ἄρ' εἶχες : Διὰ τὸ ἄνω εἰρηκέναι, ἰώ μοί μοι, καί, ἀνὴρ κακοδαίμων, ἐπήγαγε τὸ ὄντως.

1272. ἐξέπεσον : Τῶν χρημάτων. ἦν δὲ καὶ οὗτος περὶ ἱππικὴν ἔχων. R. V. [ἵππους γ' ἐλαύνων : Καὶ τοῦτο ἐκ παρῳδίας. ἅμα δὲ καὶ αὐτὸς ἱπποτροφῶν ἐδυσπράγησεν.]

1273. ὥσπερ ἀπ' ὄνου : Πρὸς τὸ ἀπὸ ἵππου ἀπὸ ὄνου εἶπε καὶ ἅμα πρὸς τὸ ληρεῖς. ἐπὶ γὰρ τῶν κατὰ μηδένα λόγον πραττόντων εἰώθασι τὸ ἀπὸ ὄνου λέγειν τὴν παροιμίαν. τινὲς δὲ ἀπὸ νοῦ λέγουσιν. R. V. [ἐπὶ τῶν ἀλόγως πραττόντων ἡ παροιμία καὶ μὴ δυναμένων ὄνοις χρῆσθαι, μήτι γε δὴ ἵπποις. ὁ μέντοι Πλάτων ἐν τρίτῳ Νόμων [p. 701, C] τὴν τελευταίαν περισπᾷ ἀπὸ νοῦ λέγων οὕτως « καὶ μὴ καθάπερ ἀχάλινον κεκτημένον τὸ « στόμα, βίᾳ ὑπὸ τοῦ λόγου φερόμενον κατὰ τὴν πα- « ροιμίαν, ἀπὸ νοῦ πεσεῖν. » ἢ ἔπαιξε πρὸς τὸ ὑπ' αὐτοῦ εἰρημένον, καὶ δέον εἰπεῖν ἀπὸ τοῦ νοῦ, εἶπεν, ἀπ' ὄνου. Ἄλλως. γράφεται καὶ ἀπ' ὄνου καὶ ἀπὸ νοῦ. κεῖται δὲ παροιμία ἀπ' ὄνου. φασὶ γὰρ ὅτι δύο τινὲς περιτυχόντες ὄνῳ ἐν ἐρημίᾳ, φιλονεικοῦντες πρὸς ἀλλήλους περὶ τοῦ τίς αὐτὸν λήψεται, ἔλαθεν αὐτοὺς ἄμφω ἀπολέσαντας αὐτόν. τούτων γὰρ μαχομένων ἀνεχώρησε τὸ ζῷον.]

1277. προσκεκλήσεσθαι : (Ἀντὶ τοῦ διὰ μαρτύρων ἀχθήσεσθαι.) εἰς τὸ δικαστήριον κληθήσεσθαι. (ἀπὸ κοινοῦ δὲ τὸ δοκεῖς.)

1279. καινὸν αἰεὶ τὸν Δία : [Νέον ὕδωρ ὕειν νομίζεις, φησίν, ἢ πάλιν ἀντεπαγόμενον αὐτὸ ὑπὸ τοῦ ἡλίου;] ὡς ταῦτα μαθὼν παρὰ Σωκράτους κατὰ τὸ σιωπώμενον. V.

1286. τί θηρίον : [Τινὲς τὸ θηρίον πρὸς τὸν δανειστὴν λέγουσιν εἰρῆσθαι. ἀντὶ τοῦ, ὦ θηρίον, τί ἐστιν ὁ τόκος.] ἐπεὶ γέννημα φαμὲν ἐπὶ θηρίου καὶ τόκον.

1289. προβαίνοντος, ἀναλισκομένου. R. V.

1290. [τὴν θάλατταν : Τί δῆτά ἐστιν ἃ νομίζεις; καὶ τοῦτο δὲ ἔμαθε κατὰ τὸ σιωπώμενον.]

1292. οὐ λυσιτελεῖ τοῖς ἐπὶ γῆς πλείονα εἶναι τὴν θάλατταν. R. V.

1297. τὸ ἀμυντήριον. R. V.

1298. ὦ σαμφόρα : Ταῦτα ἔοικεν ὁ μάρτυς λέγειν τῷ δανειστῇ. R. V. ἀντὶ τοῦ οὐκ ἀναχωρεῖς; V. [τινὲς τοῦτο Στρεψιάδου· τινὲς ὅλον τοῦ κλητῆρος. ἀντὶ τοῦ, ὦ κλῆτορ. ὡς ἵππῳ αὐτῷ διαλέγεται.]

1209. σειραφόρον ἀντὶ τοῦ παρήορον. καὶ πρὸς μὲν τὸ ἐπὶ ἅλων τὸ σύ, πρὸς δὲ τὸ ἐπιαλῶ τὸ σέ. καὶ ἔστιν ἡ γραφὴ δισσή, ἐπὶ ἅλων καὶ ἐπιαλῶ. καὶ πρὸς μὲν τὸ περισπώμενον ἐπιαλῶ εἴη ἂν ἀπειλητικῶς λέγων, οἷον ἄξεις καὶ ὁρμήσεις σεαυτὸν ἐντεῦθεν, ἐπεὶ ἀλῶ σε, ὅπερ ἐστὶν ἐλάσω σε καὶ διώξω σε κεντῶν ὑπὸ τὸν πρωκτὸν ὥσπερ ἵππον παρήορον· πρὸς δὲ τὴν ἑτέραν γραφὴν οὕτως ἠθικῶς λέγοντος, οἷον ἀπάξεις σὺ τὸν σειραφόρον εἰς μυλῶνα ἐπὶ τὸ ἀλοᾶν, ἀντὶ τοῦ ἄπαγέ σου τὸν ἵππον κἀκεῖθεν τραφήσῃ. τινὲς δὲ οὕτως, ἄξεις ἐπιβαλών. [Ἄλλως. ἐπιαλῶ μέλλων ἀπὸ τοῦ ἰάλλω. λέγει δὲ ἐπιπέμψω σε. ἐν ἤθει δὲ τὸ ἄξεις λέγει· οὐκ ἀπάξῃ ποτὲ ἐντεῦθεν καὶ πορεύσῃ. τὸ δὲ ἐπιαλῶ, ἀντὶ τοῦ ἐπιπέμψω σε. συμβουλεύει δὲ αὐτῷ ἀλοάσαντα μισθῷ πορεύεσθαι, ἵνα τρέφειν ἔχῃ τοὺς ἵππους. σειραφόρος δέ, ὁ ἔξω τοῦ ζυγοῦ. Ἄλλως. ἐὰν μὲν οὗτος ὁ λόγος ᾖ ἠθικός, ἀπέρχῃ, ἢ ὑποβαλῶ τὴν μάστιγα κεντῶν σε ὑπὸ τὸν πρωκτόν, ὡς σειραφόρον· ἐὰν δὲ ἐπὶ ἅλω, οὕτως, ἀπέρχῃ ἐπὶ ἅλωνα κεντῶν σου τὸν σειραφόρον, ἐπὶ τὸ ἐργαζόμενον ἐκεῖθεν τραφῆναι· οὐδὲν γὰρ ἐντεῦθεν λήψῃ. οἱ δὲ οὕτως· ἐπιβαλών σοι τὴν μάστιγα καὶ δέρων τὸν πρωκτόν, ἄξω σε. ἀπὸ μεταφορᾶς τῶν κεντουμένων ἵππων βραδέων ὑπὸ τῶν ἡνιόχων. — ἐπεὶ ἀλῶ : Κινήσω, συντρίψω. *B. D.* συντρίψω. *E.* ἐπί σ' ἀλῶ : Συντρίψω. *C.*]

1300. (ὑπὸ τὸν πρωκτὸν σὲ : Μήποτε οὐκ ἔστι σέ, ἀλλὰ σύ· εἰ μὴ ἄρα λέγει, ἄξεις σεαυτὸν ὡς τὸν σειραφόρον, ὅπου αὐτὸς ἐργάζῃ.)

1302. ξυνωρίσιν : Ξυνωρίς, ἅρμα ἵππων ἐζευγμένον. *Vict.* λείπει ἡ σύν. R.

1303. ἐν εἰσθέσει κῶλα τρία, ὧν τὸ πρῶτον Ἰωνικὸν ἡμιόλιον. R. V. [κορωνὶς καὶ εἴσθεσις μέλους ἐξιόντων ὑποκριτῶν μονοστροφικοῦ ἐκ κώλων ιη'. ὧν τὸ πρῶτον ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον τοῦ « φλαύρων » ποδὸς ἀνθ' ὅλης ἰαμβικῆς κειμένου διποδίας. τὸ δεύτερον ἐκ διιάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσονος δίμετρον ἀκατάληκτον, ἢ ἰαμβικὸν ἐφθημιμερές. τὸ τρίτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ τέταρτον ὅμοιον, ἢ ἐκ παιώνων δευτέρων. τὸ ε' χοριαμβικὸν ἐξ ἐπιτρίτων τρίμετρον καταληκτικόν. τὸ ς' τροχαϊκὸν δίμετρον καταληκτικὸν ἤτοι ἐφθημιμερές. τὸ ζ' ὅμοιον, τρίμετρον μέντοι. τὸ η' χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον. τὸ θ' ἀντισπαστικὸν ἐξ ἐπιτρίτου τρίτου καὶ πρώτου ὅμοιον. τὸ δέκατον ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ια' καὶ ιβ' ὅμοια τῷ τρίτῳ. τὸ ιγ' χοριαμβικὸν πενθημιμερές. εἰ δὲ βούλει, δακτυλικὸν δίμετρον. τὰ ἑξῆς τρία ἀντισπαστικὰ ἐφθημιμερῆ Φερεκράτεια, τροχαϊκῆς κατὰ τὴν πρώτην χώραν κειμένης ταυτοποδίας. τὸ παρατέλευτον ὅμοιον τῷ τρίτῳ· μεθ' ὃ ἰαμβικὸν δίμετρον καταληκτικόν, ἤτοι ἐφθημιμερές. ἐπὶ τῷ τέλει κορωνίς.] (οἷον τὸ πραγμάτων ἐρᾶν : Αἰνίττεται εἰς τὸν Στρεψιάδην, καὶ λέγει ὅτι δεινόν ἐστι καὶ ἀηδὲς τὸ ἀτόπων ἐρᾶν.) ἰστέον δὲ ὅτι ἐκεῖνοι διαλεχθέντες ἀπεληλύθασιν.

ὁ δὲ χορὸς ὢν ἐπὶ τῆς σκηνῆς ταῦτα διέξεισι περὶ τοῦ Στρεψιάδου, προαναφωνῶν διὰ τούτων καὶ αἰνιττόμενος, ἃ μέλλει πείσεσθαι ὁ Στρεψιάδης ὑπὸ τοῦ υἱοῦ. — φλαύρων : Φαύλων, κακῶν, πονηρῶν. *Vict.*

1308. πρᾶγμ' : ἀντὶ τοῦ κακόν. R. V.

1309. τὸν σοφιστὴν : Τὸν φιλόσοφον, ἢ τὸν παῖδα, ἢ τὸν γέροντα. ἀπὸ τοῦ σοφίζεσθαι. — τὸ ὢν ἀντὶ τοῦ ἀνθ' ὧν. R. V.

1311. αὐτὸν ἀντὶ τοῦ Στρεψιάδην. R.

1317. οἷς ἀντιταχθῇ καὶ ἀντιλέγει. R.

1320. ἴσως ἴσως : Εὔξεται παρ' αὐτοῦ ἀδικούμενος καὶ δεινὰ πάσχων, τέλεον ἄφωνον αὐτὸν εἶναι.

βουλήσεται : Ἐπεὶ μείζω κακὰ πείσεται ἢ φέρειν οἷός τε εἶναι. *B. C.*

1321. ἰοὺ ἰού : ⟦Κορωνὶς ἑτέρα εἰσιόντων αὖθις τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι κγ'. ὧν προτίθεται κῶλον ἰαμβικὸν μονόμετρον. ὁ δὲ τελευταῖος τούτων

καὶ μὴν ὅ τι καὶ λέξεις ἀκοῦσαι βούλομαι.

ἐπὶ τῷ τέλει κορωνίς. κέχρηται δὲ προαναφωνήσει τῷ ἰοὺ ἰού. τινὲς δὲ ἁπλοῦν τὸ ἰού φασίν.⟧ (σχετλιάζων ἔξεισιν ὁ πρεσβύτης, ὡς ὑπὸ τοῦ παιδὸς τετυμμένος. δῆλον δὲ ὅτι πάντα ταῦτα διαπέπλασται αὐτῷ τῆς πρὸς Σωκράτη διαβολῆς χάριν, δεικνύναι διὰ τούτων φιλοτιμουμένῳ, ὅτι μηδὲν χρηστὸν διδάσκει τοὺς νέους, ἀλλὰ πᾶν τοὐναντίον πονηρούς, ὁπότε καὶ περὶ τοὺς γεγεννηκότας τοιοῦτοι γίνονται, καθίστησι.)

1323. πάσῃ τέχνῃ : Ἀντὶ τοῦ παντὶ τρόπῳ, πάσῃ δυνάμει. τὸ δὲ ἀμύνειν καὶ ἀμυνάθειν λέγουσι. ἀπὸ τούτου οὖν ἐσχημάτισται. — ἀμυνάθετε : Βοηθήσατε. *E.* ἀμυνάθειν, ἀμύνειν, βοηθεῖν. *Vict.*

1327. πατραλοῖα : Οὐ μόνον πατραλοίας, ἀλλὰ καὶ πατραλῴας εὕρηται. Cant. 1.

(1328). καὶ πλείω : Ἀντὶ τοῦ χείρονα [καὶ πλείω τούτων] εἰπέ.

1330. λακκόπρωκτε : Εὐρύπρωκτε. *Br.*

1335. ἀντὶ τοῦ κατὰ πολύ. R.

1338. ἐδιδαξάμην : Ἀντὶ τοῦ ἐδίδαξα. παθητικὸν ἀντὶ ἐνεργητικοῦ. δύναται δὲ εἶναι μεσότητος (Ἀττικῶς), ἀντὶ τοῦ ἐξεπαίδευσα ⟦δι' ἑτέρου. τὸ γὰρ ἐδίδαξα δι' ἑαυτοῦ. — ἤγουν εἰς διδάσκαλον ἔπεμψα. ἔστι δὲ κατ' εἰρωνείαν. *Br.*⟧

1340. μέλλεις : Ἔμελλες. *D.*

1345. ⟦σὸν ἔργον : Εἴσθεσις χοροῦ, στροφῆς μὲν λόγον ἔχουσα διὰ τὸ ἔχειν καὶ ἀντίστροφον τὸ

οἶμαί γε τῶν νεωτέρων,

ἧς οὐδὲν διενήνοχε· προῳδικὴ δὲ, διὰ τὸ προτίθεσθαι καὶ προᾴδεσθαι τῆς διπλῆς. ἡ διπλῆ καὶ εἴσθεσις εἰς ἐπῳδικὴν τριάδα ἢ τετράδα κώλων ἕξ, ὧν τὰ μὲν περιττὰ ὅμοια τοῖς ἀνωτέρω, τὰ δὲ ἄρτια Ἰωνικὰ, ἡμιόλια διὰ τὸ ἔχειν πρὸς τῷ ὅλῳ καὶ τὸ ἥμισυ τοῦ Ἰωνικοῦ καλούμενα, ἀδιαφοροῦντα τὴν πρώτην συλλαβήν. τὸ μέντοι τελευταῖον, ὃ καὶ ἐπῳδὸς, ὡς ἐπὶ τῷ τέλει τῆς ᾠδῆς τιθέμενον, λέγεται, ἀντ' Ἰωνικοῦ ἐπίτριτον ἔχει. ἐν ἐκθέσει δὲ στίχοι δύο ἰαμβικοὶ τετράμετροι καταληκτικοὶ, ὅμοιοι τοῖς ἑξῆς. ἔθος γάρ ἐστι προτιθέναι τῆς διπλῆς· διστιχίαν μετὰ τὴν περίοδον τῆς κορωνίδος ἢ τῆς ᾠδῆς. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλῆ ἔξω νενευκυῖα.⟧

φροντίζειν : Βουλεύεσθαι. ὅπῃ δ' ἂν ἀντὶ τοῦ ὁποίῳ τρόπῳ. R. V.

1347. πεποίθειν : Ἐθάρρει. *Br.*

1348. τολμηρός. R.

1349. ἀλλ' ἔστιν τι ἐφ' ᾧ θαρρεῖ. R.

1352. πρὸς χορόν : ⟦Πρὸς ἐμέ.⟧ οὕτως ἔλεγον πρὸς χορὸν λέγειν, ὅτε τοῦ ὑποκριτοῦ διατιθεμένου τὴν ῥῆσιν, ὁ χορὸς ὠρχεῖτο. διὸ καὶ ἐκλέγονται ὡς ἐπιτοπλεῖστον ἐν τοῖς τοιούτοις τὰ τετράμετρα, ἢ τὰ ἀναπαιστικὰ, ἢ τὰ ἰαμβικὰ, διὰ τὸ ῥᾳδίως ἐμπίπτειν ἐν τούτοις τὸν τοιοῦτον ῥυθμόν.

1353. καὶ μὴν ὅθεν γε : ⟦Κορωνὶς καὶ στίχοι ὅμοιοι τῷ διστιχίῳ λγ'. ὧν τελευταῖος

ἐξέφερον ἂν καὶ προὐσχόμην σε· σὺ δέ με νῦν ἀπάγχων.

μεθ' ὃν τρία κῶλα ἰαμβικὰ δίμετρα ἀκατάληκτα, καὶ στίχος ὅμοιος τοῖν ἄνω.⟧

1354. ἑστιᾶσθαι ἐστὶ τὸ εὐωχεῖσθαι. οὐχὶ δὲ τὸ παρά τινι πάντως ἔλεγον. R. V.

1355. ⟦λύραν λαβόντα : Ἐν τοῖς συμποσίοις κύκλῳ τοῖς ἑστιωμένοις ὁ ἑστιάτωρ διδοὺς λύραν ἐκέλευεν ᾆσαι ᾠδήν.⟧

1356. ᾆσαι Σιμωνίδου : Ἀρχὴ ᾠδῆς εἰς Κριὸν τὸν Αἰγινήτην « ἐπέξαθ' ὁ Κριὸς οὐκ ἀεικέως. » φαίνεται δ' εὐδοκιμεῖν καὶ διαφανὴς εἶναι. R. V. ⟦τοῦτο τὸ μέλος Σιμωνίδου ἐξ ἐπινίκου

ἐπέξαθ' ὁ κριὸς οὐκ ἀεικέως.

ἦν δὲ παλαιστὴς Αἰγινήτης. Ἄλλως. τῇ πρὸς τὸ ζῷον κοινωνίᾳ τῆς λέξεως συνέπλεξε τὰς κοινωνίας ὁ ποιητὴς λέγων « ἐπέξαθ' ὁ κριὸς οὐκ ἀεικέως, ἐλθὼν « εἰς δένδρον ἀγλαὸν Διὸς τέμενος. » φαίνεται δὲ εὐδοκιμεῖν καὶ διαφανὴς εἶναι. τὸ δὲ ἐπέχθη καὶ διὰ τοῦ ε ψιλοῦ ἀπὸ τοῦ πέκω, καὶ διφθογγογραφεῖται. — τοῦτο τὸ μέλος ἐκ τῶν τοῦ Σιμωνίδου ἐστίν. ἐκεῖνος γὰρ οὕτω φησὶν « ἐπέξαθ' ὁ καιρὸς οὐκ ἀκαίρως. » ἦν δὲ ὁ κριὸς οὗτος παλαιστὴς Αἰγινήτης. LB., Harl. 5.⟧ ὡς ἐπέχθη : ὡς ἐκάρη. R. V.

1357. ἀρχαῖον : ⟦Μωρόν. παραιτοῦνται δὲ οἱ φιλόσοφοι τὸ κιθαρίζειν ἐν τῷ πίνειν. κάχρυς δὲ, ἀντὶ τοῦ κριθὰς πεφρυγμένας. ᾄδουσι δὲ αἱ ἀλήθουσαι ὑπὲρ τοῦ παραπέμψασθαι τὸν κάματον.⟧ οὐδενὸς λόγου ἄξιον, ληρῶδες, (ἀνόητον). R. V.

1358. ὡσπερεὶ κάχρυς : Καθάπερ τινὰ γυναῖκα κριθὰς ἀλοῦσαν. διαβάλλει δὲ λεληθότως τὸ τῶν γυναικῶν γένος, αἷς ἔργον πίνειν (καὶ ἕτερόν τι διαπραττομέναις) — κάγχρυς : Πεφρυγμένας κριθάς. *Br.*

1360. ὥσπερεὶ τέττιγας : Πολύλαλον γὰρ τὸ ζῷον. R. V. παρεποίησε τὸ ᾄδειν, καί φησιν ὅτι τὸ ᾄδειν φλυαρεῖν. ὡς τέττιγας καὶ οὐδὲν ἄλλο ἢ ὡς γυναῖκας ᾄδειν ἀλετρευούσας. — τρέφοντα. Θ.

1364. ἀλλὰ μυρρίνην : [Μυρρίνης γὰρ κλάδον κατέχοντες ᾖδον τὰ Αἰσχύλου, ὥσπερ τὰ Ὁμήρου μετὰ δάφνης.] παρὰ τὰ Αἰσχύλου « οὕνεκ' ἐκεῖ ἄνθεα λει- « μώνια. » [Ἄλλως.] Δικαίαρχος ἐν τῷ περὶ μουσικῶν ἀγώνων « ἔτι δὲ κοινόν τι πάθος φαίνεται συνακο- « λουθεῖν τοῖς διερχομένοις εἴτε μετὰ μέλους εἴτε ἄνευ « μέλους, ἔχοντάς τι ἐν τῇ χειρὶ ποιεῖσθαι τὴν ἀφήγη- « σιν. οἵ τε γὰρ ᾄδοντες ἐν τοῖς συμποσίοις ἐκ παλαιᾶς « τινος παραδόσεως κλῶνα δάφνης ἢ μυρρίνης λαβόντες « ᾄδουσιν. »

1365. σκώπτει καὶ Αἰσχύλον καὶ Σιμωνίδην. V.

1366. ἐγὼ γὰρ : Οὐκ ᾄσω δηλαδή. *C.*

1367. ἀσύστατον : Οὐ συνεστῶτα οὐδὲ πυκνὸν, ἀλλ' ἀραιὸν ἐν τῇ ποιήσει καὶ κομπώδη. τὰ γὰρ ῥήματα Αἰσχύλου φαντασίαν μὲν ἔχει, βασανιζόμενα δὲ οὐδεμίαν ἔχει πραγματείαν. (ἀσύστατον δὲ, οἷον ἀδιάθετον, ἀπιθάνους συνιστάντα τοὺς μύθους.) — ἄνισον. Θ. *Brunck.*

στόμφακα : συνθέτῳ λέξει ἐχρήσατο ἀπὸ τοῦ στόματος καὶ τοῦ ὄμφακος, ἵν' ᾖ λέγων ὄμφακα ἐν τῷ στόματι ἔχοντα. V. [σκληρόν· παρὰ τὸ στόμα καὶ τὸν ὄμφακα· οἷον τραχύν. κρημνοποιὸν δὲ,] μεγάλας λέξεις ποιοῦντα. — στόμφακα : Μεγαλορρήμονα. κρημνοποιόν : Σκληρολέκτην. Θ. *Br.*

1368. ὀρεχθεῖν : Κινεῖν καὶ συνταράττεσθαι. R. V. κινηθῆναι πρὸς ὀργήν. Θ. ὀρέχθει μίμημά ἐστι τραχέος ἤχου γινομένου ἐν τῷ σφάζεσθαι βοῦν. Θεόκριτος δὲ [II,43] ἐπὶ θαλάσσης τὴν λέξιν τίθησι, καθ' ὁμοιότητα τοῦ [Hom. Od. E, 402] « ῥόχθει δὲ μέγα κῦμα. » δῆλον δὲ ὅτι καὶ ἐπὶ πατάγου καρδίας ἡ λέξις τίθεται. Vict.

1370. [τὰ σοφὰ ταῦτα : Ἢ ἀντὶ τοῦ ἔπη ἐπινοητέον, ἢ δέον εἰπεῖν, οἵπερ εἰσὶν οἱ σοφοὶ οὗτοι ποιηταὶ, ὁ δὲ πρὸς οὐδέτερον ἔτρεψεν· ὥσπερ καὶ ἐν Βατράχοις [80] ποιεῖ λέγων

οὐκοῦν ἕτερ' ἐστὶ μειρακύλλια
τραγῳδίας ποιοῦντα.]

1371. ὡς ἐκίνει ἀδελφὸς : Τὴν Καναχὴν ὁ Μακαρεύς. τὸ δὲ ἀλεξίκακε διὰ μέσου ἀναπεφώνηται. σημειοῦται δὲ τὸν Εὐριπίδου Αἴολον. ἐκεῖ γὰρ οἱ ἀδελφοὶ τὰς ἀδελφὰς γαμοῦσιν. Ἄλλως. (γέγραπται Εὐριπίδου Αἴολος δρᾶμα οὕτως καλούμενον, ἐν ᾧ παρήγαγε Μακαρέα, τὸν παῖδα τοῦ Αἰόλου, φθείραντα Καναχὴν τὴν ἀδελφήν. ἐπεὶ δὲ παρ' Ἀθηναίοις ἔξεστι γαμεῖν τὰς ἐκ τῶν πατέρων ἀδελφὰς, εἰς αὔξησιν τοῦ ἀδικήματος προσέθηκε τὴν ὁμομητρίαν. εἶτα εὐφυῶς ἐσχετλίασεν, ἐπάγων τὸ ἀλεξίκακε· τουτέστιν, ἀποτρόπαιε, καὶ ὦ τὰ δεινὰ ἀπείργων. ἴδιον γὰρ Ἡρακλέους τὸ ἐπίθετον.) — ὅτι συνῆν ἀθέσμως. Θ.

1373. ἐξαράττω : Κρούω αὐτόν· λοιδορῶ, πλήττω πολλοῖς κακοῖς.

1375. ἀντεβάλλομεν, ἐφιλονεικοῦμεν. R. V.

1376. κάσπόδει : Ἔτυπτε. συνέτριβε. R. συνέτριβεν, ἐκονιόρτου, ἐσπόδου. V. κονιορτοῦ ἐπλήρου. *Vict.*

1379. Λείπει φοβοῦμαι. R.

1380. λείπει τύπτομαι. R.

1381. τραυλίζοντος : Ψελλίζοντος καὶ μηδὲν ἔναρθρον λαβοῦντος. — νοοίης [νοοεῖς R.] δὲ ἀντὶ τοῦ ἔχεις ἐν τῷ νῷ. R. V.

1382. (βρῦν : Ἄσημος φωνὴ παιδίων, ὁπόταν πιεῖν ζητῇ.)

[πιεῖν παρέσχον : Οὐ μόνον ἐπέχω, τὸ κωλύω, ἀλλὰ καὶ τὸ δίδωμι. ὥσπερ γὰρ οὐδὲν ἕτερόν ἐστι τὸ παρέχω, τὸ δίδωμι, ἢ παρά σοι ἔχω τι, οὕτω καὶ ἐπέχω ἀντὶ τοῦ ἐπί σοι ἔχω τι. ἡ γὰρ παρά καὶ ἡ ἐπί ταυτοσήμαντά εἰσιν. D.]

1384. κακκᾶν : Ἀφοδεύειν τὰ παιδία. πρίν σε εἰπεῖν, προέτεινόν σε ἀπὸ τῆς κλίνης καὶ ἔξω τῶν ἱματίων, ἵνα ἀποπατήσῃς. R. V.

1388. ὑπὸ τῶν πληγῶν. R.

1390. αὐτοῦ : αὐτόθι. R.

1392. πηδᾶν : Ὁρμᾶν. *Vict.* ἀντὶ τοῦ εἰς ᾅ. R.

1395. [λάβοιμεν ἂν : Οὕτως ἀφανισθήσεται πληγαῖς, ὡς νομίσαι ἡμᾶς τὸ δέρμα καὶ τοῦ δέρματος ἐρεβίνθου λεπτότερον αὐτοὺς ἔχειν.]

[ἀποροῦσί τινες ἐνταῦθα, πῶς οὕτω δέον εἰπεῖν, τὸ δέρμα τῶν γεραιτέρων λάβοιεν ἂν οἱ νέοι, ὁ χορὸς λάβοιμεν εἶπεν· λύοντές τινες τὴν ἀπορίαν, εἰς ψυχρὰν λύσιν τὸν λόγον ἀποδιδόασιν. ἀλλὰ σὺ οὕτω λέγε· οἶμαι τὰς καρδίας τῶν νεωτέρων πηδᾶν καὶ ὁρμᾶν ἐν ἐκείνῳ, ὅπερ Φειδιππίδης λέξει, λεγόντων δηλονότι καθ' ἑαυτοὺς τῶν νεωτέρων τάδε· εἰ γὰρ ταῦτα οὗτος ἐξειργασμένος, εἶτα λαλῶν καὶ δημηγορῶν ἀναπείσει τὸν πατέρα, ὅτι ἀληθῆ πεποίηκε, τὸ δέρμα τῶν γεραιτέρων λάβοιμεν ἂν, ἤγουν ἐκδείροιμεν αὐτοὺς, ἀλλ' οὐδὲ τοῦ ἐρεβίνθου αὐτῶν, ἤγουν τοῦ αἰδοίου, φεισαίμεθα ἂν δηλονότι· οὕτω τὸ λάβοιμεν ἀπὸ τῶν νέων νόει. *Vict.*]

1396. ἐρεβίνθου : αἰδοίου. *Br.*

1397. μοχλευτὰ : Μοχλοὶ, κλεῖθρα· μοχλεύειν, κινεῖν. *Vict.*

1399. [ὡς ἡδὺ καινοῖς : Εἴσθεσις ἑτέρας διπλῆς ἀμοιβαίας ἐκ στίχων ἰαμβικῶν τετραμέτρων καταληκτικῶν με'· ὧν τελευταῖος

τὴν μητέρ' ὥσπερ καὶ σὲ τυπτήσω. τί δῆτα φὴς σύ.

ὁ μέντοι ἑπτακαιδέκατος τρίμετρος ἴαμβός ἐστιν. ἐπὶ τῷ τέλει διπλῇ ἔξω νενευκυῖα.]

1400. τῶν καθεστώτων : Τῶν ὡρισμένων. R.V. ἱσταμένων, πολιτευομένων. Θ. ὑπερφρονεῖν : Ὑπερηφανεῖν. V. ἡ ὑπέρ ἀντὶ τῆς κατά. R.V.

1401. προσεῖχον : Προσεκόλλων. Θ.

1402. ἐξαμαρτεῖν : Βαρβαρίσαι, σφαλῆναι. *Vict.*

1403. τούτων : Τῆς ἱππικῆς. R.V. τῶν κατὰ τὴν ἱππικήν. Θ.

1404. λεπτολογίαις. Θ. ταῖς τῶν φιλοσόφων. R.V. φροντίσιν. Θ.

1406. ἵππων φρόντιζε. R. V.

1407. τέθριππον : Ἅρμα. Θ. *Br.* ἐπιτριβῆναι ἀντὶ τοῦ βλαβῆναι. R.

1408. ἀπέσχισας : Ἐκώλυσας, ἀπεχώρισας. R.V. ἀπέκοψας. Θ. μέτειμι : Μετελεύσομαι. Θ. *E.*

1410. ἔγωγέ σ' εὐνοῶν : Ναὶ ἔγωγε ἔτυπτον εὐνοῶν σου, ἵνα καλῆς ἀναγωγῆς τύχῃς. *Vict.*

1413. ἀθῷον : Ἀμέτοχον. *Vict.*

1415. κλάουσι παῖδες : Παρὰ τὰ ἐξ Ἀλκήστιδος Εὐριπίδου [694]

χαίρεις ὁρῶν φῶς· πατέρα δ' οὐ χαίρειν δοκεῖς ;

τί ἔτι δή; Ἤγουν τί τοῦτό ἐστιν. *Vict.*]

1416. τοῦτο τοὔργον : Τὸ τύπτεσθαι. R. τὸ τύπτειν. V. τὸ κλαίειν. *Br.*

1417. δὶς παῖδες οἱ γέροντες : Παῖδες γὰρ ὄντες ἄφρονες ἦσαν, ὑπεργηράσκοντες δὲ πάλιν ληροῦσι καὶ παιδίων φρένας ἔχουσι. R.V. [παῖδές τε γὰρ τὴν ἀρχὴν ἦσαν ἄφρονες, καὶ νῦν ὑπὸ τοῦ τῶν ἐτῶν πλήθους παρατραπέντος αὐτοῖς τοῦ λογισμοῦ παῖδές εἰσι, τῷ νῷ πάλιν ληροῦντες. καὶ Σοφοκλῆς Πηλεῖ

Πηλέα τὸν Αἰάκειον οἰκουρὸς μόνη
γεροντagωγῶ κἀναπαιδεύω πάλιν·
πάλιν γὰρ αὖθις παῖς ὁ γηράσκων ἀνήρ.

καὶ Θεόπομπος

δὶς παῖδες οἱ γέροντες ὀρθῷ τῷ λόγῳ.

καὶ Πλάτων

ἆρ', ὡς ἔοικε, δὶς γένοιτ' ἂν παῖς γέρων;

καὶ Ἀντιφῶν « γηροτροφία γὰρ προσέοικε παιδοτροφίᾳ. »]

1419. ὅσῳπερ : Οἱ παῖδες ἐξαμαρτάνοντες συγγνώμης μᾶλλον ἄξιοι διὰ τὸ νέον τῆς ἡλικίας. τὸ δὲ ἧττον ἀντὶ τοῦ μηδ' ὅλως.

1420. ἀντὶ τοῦ μηδὲ ὅλως. R.

1421. οὔκουν ἀνὴρ : Ἀντὶ τοῦ οὐκ ἦν ἀνήρ. ἐν ἠθικῇ ἐρωτήσει.

1423. ἧττον τί δῆτ' ἔξεστι κἀμοὶ : Ἀντὶ τοῦ οὐχ ἧττον τοῦ παλαιοῦ νομοθέτου. [παρὰ δέ τινι τῶν νεωτέρων κατὰ λέξιν οὕτως· ἀποροῦσι πάντες ἐνταῦθα περὶ τοῦ ἧττον. τὸ δὲ, ὡς ἐγῷμαι, τοιοῦτόν ἐστιν. εἰπὼν γὰρ, καὶ λέγων ἔπειθε τοὺς παλαιοὺς, ἐπήγαγεν ἧττον· δεικνὺς ὡς εἰ καὶ ἔπειθεν, ἀλλ' ἧττον ἢ ἐγὼ αὐτὸς νῦν· ἐπειδὴ καὶ τὰ δίκαια καὶ τὰ μὴ λέγων ὁμοίως νικῶ. οἱ δὲ τὸ ἧττον πρὸς τὸ τί δῆτα συνάπτοντες ψυχροί τινές εἰσιν. ἢ τὸ ἧττον μὴ πρός τι σύναπτε, ἀλλὰ μόνον λέγε κατ' ἐρώτησιν· οὔκουν ἀνὴρ ἦν ὁ θεὶς τὸν νόμον τοῦτον ὡς σὺ καὶ ἐγὼ, καὶ λέγων ἔπειθε τοὺς παλαιούς; ἧττον; ἀντὶ τοῦ, οὐδαμῶς τοῦτο οὕτως ἔχει. ἢ ὥσπερ ἐν τῷ πρώτῳ τὸ ἧττον πρὸς τὸ ἔπειθε συνήψαμεν, οὕτω καὶ πρὸς τὸ λέγων συναπτέον, οὕτω· καὶ λέγων ἧττον καὶ ἔλαττον, ἢ ἐγὼ νῦν, ἔπειθε τοὺς παλαιούς.]

1425. πρὶν τὸν νόμον τεθῆναι, ὃν τίθημι δηλονότι. R.

1426. ἀφίεμεν : Συγχωροῦμεν. ἀντὶ τοῦ τυπτῆσαι ἡμᾶς. R.V. [συγκεκόφθαι : Τυφθῆναι ἡμᾶς. κατακοπῆναι ταῖς μάστιξι.]

1427. βοτὰ : Τὰ βοσκόμενα τὴν πόαν. R.V. βοσκήματα, θρέμματα. *Vict.*

1429. πλὴν ὅτι ψηφίσματα : [Ἀντὶ τοῦ, δικαστήρια οὐκ ἄγουσιν.] εἰς τὸ φιλόδικον τῶν Ἀθηναίων αἰνίττεται.

1430. διὰ τί δή. R. V.

1432. Σωκράτει δοκοίη : τῷ ἐμῷ διδασκάλῳ δηλονότι. R. V. [ἀπορήσας λύσεως, ἐπὶ τὴν τοῦ Σωκράτους δόκησιν ἀνάγει πιστοτέραν οὖσαν. τὰ δὲ πρόσωπα οὕτως· ἀπὸ τοῦ οὐ ταὐτόν ἕως τοῦ δοκοίη τοῦ νέου ἐστίν. ἵν' ᾖ τοῦ πρεσβύτου τὸ, πρὸς ταῦτα· τουτέστιν, ἅ σοι νῦν περὶ τῶν ἀλεκτρυόνων εἶπον· τὸ, καὶ πῶς, τοῦ Φειδιππίδου λέγοντος. ἐν δέ τισιν ὁ νέος τὸν, οὐ ταυτόν, καὶ ἑξῆς στίχον εὕρηται λέγων· τὰ δ' ἑξῆς μέχρι τοῦ, ἢν δὲ μὴ γένηται, Στρεψιάδης. οἷον, καὶ πῶς ἐμαυτὸν αἰτιάσομαι; ἔξεστι γάρ μοι τύπτειν σε· ὥσπερ καὶ σοὶ, ἐὰν ἔχῃς υἱόν.]

1436. ἐγχανὼν : Καταγελάσας *R. V. Vict.*

(1437). ἐμοὶ μὲν : Τοὺς τρεῖς τοὺς ἑξῆς ὁ πρεσβύτης πρὸς τοὺς θεατάς. [ἐπιεικῆ δὲ, ὅμοια, πρέποντα.]

1438. κἄμοιγε : Κἄμοιγε συγχωρεῖν ὑμᾶς δοκεῖ τοῖς παισὶ, ἅ ἐστι πρέποντα ποιεῖν εἰς ἡμᾶς. *Br.* — τὰ ἀκόλουθα καὶ ὅμοια συγχωρεῖν τοῖς νέοις, τύπτειν ἡμᾶς.

1440. ἀπὸ γὰρ ὀλοῦμαι : Ἐὰν μὴ προσχῶ γὰρ, ἀπολοῦμαι τυπτόμενος παρὰ σοῦ. R. V. οὐ βούλομαι. *Br.*

1444. [τοῦθ' ἕτερον αὖ : Ἔκθεσις τῆς διπλῆς ἐκ κώλων ἰαμβικῶν ὀκτώ· ὧν τὸ πρῶτον δίμετρον ἀκατάληκτον, τὸ β' δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερές. τὰ ἑξῆς τρία ὅμοια τῷ πρώτῳ. τὸ ἕκτον τρίμετρον ἀκατάληκτον. τὸ ἕβδομον δίμετρον ἀκατάληκτον. τὸ τελευταῖον τῷ πρώτῳ ὅμοιον. Ἄλλως. διπλῆ καὶ μέλος ἀμοιβαῖον, οὗ ἡ ἀρχὴ,

τοῦθ' ἕτερον αὖ μεῖζον,

τέλος δὲ,

καὶ τὸν λόγον τὸν ἥττω.

ἔστι δὲ ἰαμβικὰ τρίμετρα ἀκατάληκτα τρία· καὶ τὸ πρῶτον ἰαμβεῖον τετράμετρον καταληκτικόν. τινὲς δὲ διαιροῦσι τοῦτο εἰς δύο, ἐπειδὴ καὶ τὰ πρόσωπα κεχωρισμένα εἰσί· καὶ γίνεται μεσῳδικὴ τριὰς, δύο ἑκατέρωθεν ἔχουσα κῶλα. τινὲς δὲ τὸ μέσον τετράκωλον.]

1452. [ταυτὶ δι' ὑμᾶς : Ἐν ἐκθέσει ἴαμβοι τρίμετροι ἀκατάληκτοι μα'. ὧν τελευταῖος

ἐμοὶ πιθήσω, κεἰ σφόδρ' εἰσ' ἀλαζόνες.

εἶτα ἀναφώνημα, τὸ ἰοὺ ἰού· καὶ πάλιν ἴαμβοι ιε'. καὶ τελευταῖον τοῦ δράματος ἀναπαιστικὸν τετράμετρον καταληκτικόν· ἐφ' ᾧ κορωνὶς ἡ καὶ τὸ δρᾶμα ἀποπερατίζουσα.]

1453. ἀντὶ τοῦ ἐπιτρέψας. R. V.

1456. τότε : Ὅτε τὴν ἀρχὴν προσῆλθον ὑμῖν. *E.*

1457. ἐπείσατε, ἠπατήσατε. R. V.

1464. [ὦ φίλτατε : Λείπει τὸ υἱὲ ἢ παῖ. τοῦτο γὰρ ἐπιγράφεται. πρὸς γὰρ τὸν υἱὸν μετέβη.]

1468. πατρῷον Δία : [Πατρῷος Ζεὺς καὶ Ἀπόλλων ἐν Ἀθήναις τιμῶνται, ὁ Ζεὺς μὲν μετὰ τὴν ἐν Ἀρκαδίᾳ, ἢ ὡς ἕτεροι, μετὰ τὴν ἐν Κρήτῃ ἀνατροφήν, ὅτε πρῶτον ταῖς Ἀθήναις ἐπέστη καὶ ἐφάνη τοῖς πατράσιν αὐτῶν, οἵτινες ταύτῃ τῇ προσηγορίᾳ τετιμήκασιν αὐτόν. Ἀπόλλων δὲ, ὅτι Ἐρεχθέως θυγατέρα ἔγημε τὴν Κρέουσαν, ἐξ ἧς γίνεται ὁ Ἴων. ὡς πρόγονον οὖν αὐτὸν ἐτίμων καὶ οἱ ἄρχοντες ὅτε ἐχειροτονοῦντο. ἐκ γὰρ τοῦ μὴ εἰδέναι ξένους αὐτοὺς ἐνόμιζον. Ἄλλως.] οὕτω τιμᾶται παρ' Ἀθηναίοις Ζεὺς πατρῷος καὶ Ἀπόλλων, διὰ τὸ πρώτους ὑποδέξασθαι τὸν θεὸν εἰς τὴν χώραν καὶ θυσίας συντελέσαι κατὰ φρήτρας καὶ δήμους καὶ συγγενείας μόνους τῶν Ἑλλήνων.

1469. ἰδού γε Δία : Ἐξ ὧν ὁ πατὴρ ἐπελάβετο αὐτοῦ ἀνωτέρω, ἐκ τούτων καὶ αὐτὸς πειρᾶται τοῦ πατρὸς λαμβάνεσθαι.

1473. (διὰ τουτονὶ τὸν Δῖνον : Ὡς ἀγάλματος Δίνου ὄντος ἐν τῇ διατριβῇ Σωκράτους ὀστρακίνου.)

1474. χυτρεοῦν : Δεικτικῶς τὸ ἐν τῷ φροντιστηρίῳ μηχάνημα ὀστράκινον ὥσπερ σφαῖραν. R. V. [ὀστράκινον, εὐτελὲς, χύτρας ἄξιον. R. κωκίον τι πήλινον ἔφερε καλούμενον δῖνον. Θ. — τὸ ἐν τῷ φροντιστηρίῳ μηχάνημα ὀστράκινον περιφερὲς ὡς χύτραν ὠνοματοποίησεν, καὶ ὄνομα αὐτῷ ἔθετο χυτρεοῦν. τουτέστι, μάταιον, εὐτελὲς, χύτρας ἄξιον. ὡς ὀστρακίνου ἀγάλματος ὄντος πρὸ τῆς διατριβῆς. — χυτρεοῦντ' : Χυτρεοῦς, ὁ τροχὸς ἐν ᾧ ἐργάζονται τὰς χύτρας. Harl. 5.]

1477. ὅτ' ἐξέβαλον : Ταῦτα εἰς διαβολὴν Σωκράτους, ἐκβαλόντος τὰ δαιμόνια.

1478. ἀλλ' ὦ φίλ' Ἑρμῆ : Τοῦτο οἱ κλέπται πρὸς τὸν Ἑρμῆν ἔλεγον, ὅτε ἁλισκόμενοι ἐκολάζοντο, αἰτούμενοι αὐτὸν ἐλθεῖν αὐτοῖς εἰς βοήθειαν. ᾤοντο γὰρ διὰ τὸ μὴ τεθυκέναι αὐτῷ, ὡς ἐφόρῳ κλεπτικῆς ὄντι, εἰς ταῦτα περιπεσεῖν τὰ δεινά.

1480. παρανοήσαντος : Τῇ ἀδολεσχίᾳ τῶν φιλοσόφων ὑπαχθέντος καὶ πεισθέντος. R. V. οὕτως δὲ οἱ Ἀττικοὶ ἐκτείνουσι τὸ α. V. [Ἀντὶ τοῦ, ἀνοητεύσαντος παρὰ τὸ πρέπον καὶ πεισθέντος. ἀδολεσχία δὲ, ἡ τῶν ἀηδῶν ὁμιλία. — φλυαρίᾳ τῇ τοῦ Σωκράτους. *Br.*

1482. διωκάθω : Κατηγορήσω, διώξω. R.V. λείπει ποίησον. R.

1483. ὡς τοῦ Ἑρμοῦ ἀνανεύσαντος. R. ἀντὶ τοῦ κατηγορεῖν. R. V.

1485. δοῦλος αὐτοῦ. R.

1486. ἀντὶ τοῦ δίκελλαν. R. V.

1488. ἀντὶ τοῦ τὴν στέγην. R.

1489. ἀντὶ τοῦ ἐπιβάλῃς αὐτοῖς τὴν οἰκίαν. R. V.

1493. ἰοὺ ἰού : Ἰαμβικὸν μονόμετρον ἀκατάληκτον. *Vict.* μαθητὴς Σωκράτους. V. εἷς τῶν φιλοσόφων. R. V.

1494. ἱέναι : Πέμπειν. *Vict.*

1496. διαλέγομαι, ὥσπερ καὶ ὁ Σωκράτης ἔφη [225] « ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον. » R. V.

1500. σμινύη : Δίκελλα, ἀξίνη. *Vict.* μὴ προδῷ : Θραυσθεῖσα. *E.* ἀντὶ τοῦ μὴ κλασθῇ. R. V.

1501. ἀντὶ τοῦ κλάσω τὸν τράχηλον. R.

1503. πρὸς τοὺς λόγους αὐτῶν. R. V.

1505. ἕτερος φιλόσοφος. ὑπὸ τοῦ καπνοῦ δηλονότι. R. V.

1507. τῆς σελήνης τὴν ἕδραν : [Ἀντὶ τοῦ, τὰς κινήσεις τῆς σελήνης. ἕδραν δὲ εἶπεν, εἰς τὸ αἰσχρὸν ἀποτείνων τὸν λόγον. τὴν ἐπιφοράν.] ἐπὶ τίνος ὀχεῖται καὶ πῶς καὶ διὰ τί μένει.

τὰς ἕδρας : Στηρίξεις. *E.* τὴν στήριξιν. *D.*

1508. δίωκε : Πρὸς τὸν οἰκέτην. R. πρὸς τὸν Ξανθίαν ὁ Ἑρμῆς. V. ὡς τῶν φιλοσόφων φευγόντων διὰ τὸ πῦρ. τὸ δὲ, ὡς ἠδίκουν, γράφεται καὶ, οὓς ἠδίκουν.

1510. τό γε τήμερον : Οἷον ἀρκετῶς ἔχει ἡ τήμερον ἡμέρα. [ὡς ἀπὸ τοῦ ποιητοῦ δὲ ὁ λόγος.]